1. *Κιλικίαν Aeg.*: *σικελίαν* E A 2. *κωρύκιον* E: *κωρύβιον* R *κορύβιον* A 3. *ἐν* add. E 4. *κατέστησε φύλακα* *E: *κατέστησε* A (*φύλακα κατέστησε Fab.*) *φύμην δράκαιναν* A: *Δελφύνην* restituit *Fab.*; *δράκαιναν* fortasse delendum est, quod inter *φύλακα* et *ἡμίθηρ* unius tantum vocis spatium praebet E 5. *ἡ* E A, del. *Hr.* *αἰγίπας* A, corr. *Aeg.*, *αἰγυπιὸς* E 7. *ἐξ οὐρανοῦ* E A del. *Hr.*, sed conf. Comm. Ribb. p. 143 9. *νύσσαν* E R R[a] *νυσσὰν* A, corr. *Aeg.* 11. *ἐφημέρων*] conf. Nicand. Al. 250 12. *διόπερ* vitiosum putat *Hr.*; lacunam post *διόπερ* indic. *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 428 13. *ὄρη*] **explic. R fol. 21[v]** 15 s. *τὸ ὄρος* E R: *τοῦ ὄρους* A 16. *ὁρμηθέντι αὐτῷ* *E: *ὁρμηθέντος αὐτοῦ* A 17. *σικελοῦ* E 18. *ἐν Σικελίᾳ* del. *Hr.* 18 ss. *ἐξ οὗ — ἀναφυσήματα* del. *Hr.*

7 Ἀλλὰ περὶ μὲν τούτων μέχρι τοῦ δεῦρο ἡμῖν λε- 45
λέχθω· Προμηθεὺς δὲ ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους
πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ, λάθρᾳ Διὸς ἐν νάρ-
θηκι κρύψας. ὡς δὲ ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ
τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο
2 δὲ Σκυθικὸν ὄρος ἐστίν. ἐν δὴ τούτῳ προσηλωθεὶς
Προμηθεὺς πολλῶν ἐτῶν ἀριθμὸν ἐδέδετο· καθ' ἑκά-
στην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς
ἐνέμετο τοῦ ἥπατος αὐξανομένου διὰ νυκτός.
3 καὶ Προμηθεὺς μὲν πυρὸς κλαπέντος δίκην ἔτινε 46
ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν, ὡς ἐν
2 τοῖς καθ' Ἡρακλέα δηλώσομεν· Προμηθέως δὲ παῖς
Δευκαλίων ἐγένετο. οὗτος βασιλεύων τῶν περὶ τὴν
Φθίαν τόπων γαμεῖ Πύρραν τὴν Ἐπιμηθέως καὶ Παν-
2 δώρας, ἣν ἔπλασαν θεοὶ πρώτην γυναῖκα. ἐπεὶ δὲ 47
ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἠθέλησε γένος, ὑποθεμένου
Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα, καὶ τὰ
ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας εἰσέβη.
3 Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα
μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι
πάντας ἀνθρώπους, ὀλίγων χωρὶς οἳ συνέφυγον εἰς
τὰ πλησίον ὑψηλὰ ὄρη. τότε δὲ καὶ τὰ κατὰ Θεσσαλίαν
ὄρη διέστη, καὶ τὰ ἐκτὸς Ἰσθμοῦ καὶ Πελοποννήσου

3. πῦρ EA: τὸ πῦρ *He.* 5. τῷ EA, del. *Hr.* 6. ὄρος EA, del. *Hr.* 8. αὐτῷ R^a *He*: αὐτοῦ EA 9. τῶν ἡπάτων αὐξανομένων EA, corr. *He.* 11 s. ἐν τοῖς καθ' Ἡρακλέα] II 119 13 ss. δευκαλλίων ubique R^a *B*, reliqui passim, nusquam E 13 s. τὸν ... τόπον *B* 16. ἠθέλησε *E schol. Hom. *A* 126 (ἡ ἱστορία παρὰ Ἀπολλοδώρῳ): ἤθελε A 18. εἰσέβη A: εἰσέδυ E ἐνέβη schol. Hom. 21. συνέφυγον E schol. Hom.: συνεφύτων R^a συνεφοίτων A 22. δὲ A schol. Hom.: δὴ R^a 23. ὄρη A schol. Plat. Tim. p. 22a: στενώματα schol. Hom.

48 συνεχύθη πάντα. Δευκαλίων δὲ ἐν τῇ λάρνακι διὰ 4
τῆς θαλάσσης φερόμενος ⟨ἐφ'⟩ ἡμέρας ἐννέα καὶ νύκτας
⟨τὰς⟩ ἴσας τῷ Παρνασῷ προσίσχει, κἀκεῖ τῶν ὄμβρων
παῦλαν λαβόντων ἐκβὰς θύει Διὶ φυξίῳ. Ζεὺς δὲ 5
πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἱρεῖσθαι ὅ τι
βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι.
καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς ἔβαλλεν αἴρων λίθους,
καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς
δὲ Πύρρα, γυναῖκες. ὅθεν καὶ λαοὶ μεταφορικῶς ὠνο-
μάσθησαν ἀπὸ τοῦ λᾶας ὁ λίθος.
49 γίνονται δὲ ἐκ Πύρρας Δευκαλίωνι παῖδες Ἕλλην 6
μὲν πρῶτος, ὃν ἐκ Διὸς γεγεννῆσθαι ⟨ἔνιοι⟩ λέγουσι,
⟨δεύτερος δὲ⟩ Ἀμφικτύων ὁ μετὰ Κραναὸν βασιλεύσας
τῆς Ἀττικῆς, θυγάτηρ δὲ Πρωτογένεια, ἐξ ἧς καὶ Διὸς
Ἀέθλιος. Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηίδος Δῶρος 3
50 Ξοῦθος Αἴολος. αὐτὸς μὲν οὖν ἀφ' αὑτοῦ τοὺς καλου-
μένους Γραικοὺς προσηγόρευσεν Ἕλληνας, τοῖς δὲ
παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μὲν λαβὼν τὴν 2
Πελοπόννησον ἐκ Κρεούσης τῆς Ἐρεχθέως Ἀχαιὸν
ἐγέννησε καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦν-
ται, Δῶρος δὲ τὴν πέραν χώραν Πελοποννήσου λαβὼν
τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν, Αἴολος 3

1. συνεχύθη schol. Hom. et Plat. *Com.*: συνεχέθη A 2. ἐφ' add. schol. Hom. *Aeg.* 3. τὰς om. A schol. Hom., add. *Hr.* παρνασῷ A: παρνάσσῳ schol. Hom. εἰς παρνασσὸν E 5. αἱρεῖσθαι *E: αἰτεῖσθαι A schol. Hom. 7. ἔβαλλεν αἴρων schol Hom. *Hr.*: αἴρων ἔβαλλε A, αἴρων om. E λίθους EA: τοὺς λίθους schol. Hom. *Hr.* 8. ἔβαλε . . . ἐγένοντο EA: ἔβαλλε . . . ἐγίνοντο schol. Hom. *Hr.* 9 s. ὅθεν — λίθος om. E schol. Hom. μεταφορικῶς et ἀπὸ τοῦ λᾶας ὁ λίθος del. *He.* 12. γεγεννῆσθαι A schol. Hom. N 307 (ὥς φησιν Ἀπολλόδωρος): γεγενῆσθαι R[a] 12 s. ἔνιοι et δεύτερος δὲ add. schol. Hom. *Aeg.* 15. ὀρσηίδος PR[c]: Ὀρειάδος *He.* Ὀθρηίδος schol. Plat. Conv. 208 d *Hr.* 16. ἀπ' αὐτοῦ A, corr. *Fab.*

δὲ βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσε, καὶ γήμας Ἐναρέτην τὴν Δηιμάχου παῖδας μὲν ἐγέννησεν ἑπτά, Κρηθέα Σίσυφον Ἀθάμαντα Σαλμωνέα Δηιόνα Μάγνητα Περιήρην, θυγατέρας δὲ πέντε, Κανάκην Ἀλκυόνην Πεισιδίκην Καλύκην Περιμήδην.

4 *Περιμήδης μὲν οὖν καὶ Ἀχελῴου Ἱπποδάμας καὶ* 52
Ὀρέστης, Πεισιδίκης δὲ καὶ Μυρμιδόνος Ἄντιφος καὶ
4 *Ἄκτωρ. Ἀλκυόνην δὲ Κῆυξ ἔγημεν Ἑωσφόρου παῖς. οὗτοι δὲ δι' ὑπερηφάνειαν ἀπώλοντο· ὁ μὲν γὰρ τὴν γυναῖκα ἔλεγεν Ἥραν, ἡ δὲ τὸν ἄνδρα Δία, Ζεὺς δὲ αὐτοὺς ἀπωρνέωσε, καὶ τὴν μὲν ἀλκυόνα ἐποίησε τὸν δὲ κήυκα.*

2 *Κανάκη δὲ ἐγέννησεν ἐκ Ποσειδῶνος Ὁπλέα καὶ* 53
Νιρέα καὶ Ἐπωπέα καὶ Ἀλωέα καὶ Τρίοπα. Ἀλωεὺς μὲν οὖν ἔγημεν Ἰφιμέδειαν τὴν Τρίοπος, ἥτις Ποσειδῶνος ἠράσθη, καὶ συνεχῶς φοιτῶσα ἐπὶ τὴν θάλασσαν, χερσὶν ἀρυομένη τὰ κύματα τοῖς κόλποις ἐνεφόρει. συνελθὼν δὲ αὐτῇ Ποσειδῶν δύο ἐγέννησε παῖδας, Ὦτον
3 *καὶ Ἐφιάλτην, τοὺς Ἀλωάδας λεγομένους. οὗτοι κατ'* 54
ἐνιαυτὸν ηὔξανον πλάτος μὲν πηχυαῖον μῆκος δὲ ὀργυιαῖον· ἐννέα δὲ ἐτῶν γενόμενοι, καὶ τὸ μὲν πλάτος πηχῶν ἔχοντες ἐννέα τὸ δὲ μέγεθος ὀργυιῶν ἐννέα, πρὸς θεοὺς μάχεσθαι διενοοῦντο, καὶ τὴν μὲν Ὄσσαν ἐπὶ τὸν Ὄλυμπον ἔθεσαν, ἐπὶ δὲ τὴν Ὄσσαν θέντες τὸ

2. *Ἐναρέτην*] *Αἰναρέτην* schol. Plat. Min. 315 c 3. *δηιμάχου* R^a: *διιμάχου* A *κριθέα* A, corr. *He.* 4. *σίσυφον* R^a: *δὲ σίσυφον* A 9. *ἄκτων* A, corr. *He.* 12. *ἀλκυόνην* A, corr. *He.* 14. *ἐγέννησεν* *Scaliger*: *ἐποίησεν* A 15. *ὀπωπέα* A, corr. *Aeg. He.* 15 s. *τρίωπα . . . τρίωπος* A, corr. *He.* 21. *ὀργυιαῖον* E: *ὀργυαῖον* A 23. *πηχῶν* EA: *πήχεων* *Hr.* *ὀργυιῶν* E: *ὀργυῶν* A 24. *θεοὺς* E: *θεὸν* A
25. *τοῦ ὀλύμπου* *B*

Πήλιον διὰ τῶν ὀρῶν τούτων ἠπείλουν εἰς οὐρανὸν ἀναβήσεσθαι, καὶ τὴν μὲν θάλασσαν χώσαντες τοῖς ὄρεσι ἐκποιήσειν ἔλεγον ἤπειρον, τὴν δὲ γῆν θάλασσαν.

55 ἐμνῶντο δὲ Ἐφιάλτης μὲν Ἥραν Ὦτος δὲ Ἄρτεμιν. ἔδη- 4
σαν δὲ καὶ Ἄρην. τοῦτον μὲν οὖν Ἑρμῆς ἐξέκλεψεν, ἀνεῖλε δὲ τοὺς Ἀλωάδας ἐν Νάξῳ Ἄρτεμις δι' ἀπάτης· ἀλλάξασα γὰρ τὴν ἰδέαν εἰς ἔλαφον διὰ μέσων αὐτῶν ἐπήδησεν, οἱ δὲ βουλόμενοι εὐστοχῆσαι τοῦ θηρίου ἐφ' ἑαυτοὺς ἠκόντισαν.

56 Καλύκης δὲ καὶ Ἀεθλίου παῖς Ἐνδυμίων γίνεται, 5
ὅστις ἐκ Θεσσαλίας Αἰολέας ἀγαγὼν Ἦλιν ᾤκισε. λέγουσι δὲ αὐτόν τινες ἐκ Διὸς γενέσθαι. τούτου κάλλει διενεγκόντος ἠράσθη Σελήνη, Ζεὺς δὲ αὐτῷ δίδωσιν ὃ βούλεται ἑλέσθαι· ὁ δὲ αἱρεῖται κοιμᾶσθαι διὰ παντὸς ἀθάνατος καὶ ἀγήρως μένων.

57 Ἐνδυμίωνος δὲ καὶ νηίδος νύμφης, ἢ ὥς τινες Ἰφια- 6
νάσσης, Αἰτωλός, ὃς ἀποκτείνας Ἆπιν τὸν Φορωνέως καὶ φυγὼν εἰς τὴν Κουρῆτιδα χώραν, κτείνας τοὺς ὑποδεξαμένους Φθίας καὶ Ἀπόλλωνος υἱούς, Δῶρον καὶ Λαόδοκον καὶ Πολυποίτην, ἀφ' ἑαυτοῦ τὴν χώραν Αἰτωλίαν ἐκάλεσεν.

58 Αἰτωλοῦ δὲ καὶ Προνόης τῆς Φόρβου Πλευρὼν 7
καὶ Καλυδὼν ἐγένοντο, ἀφ' ὧν αἱ ἐν Αἰτωλίᾳ πόλεις ὠνομάσθησαν. Πλευρὼν μὲν οὖν γήμας Ξανθίππην τὴν Δώρου παῖδα ἐγέννησεν Ἀγήνορα, θυγατέρας δὲ

3. ἐκποιήσειν *E: ποιήσειν A 6. νάξῳ E: ἀμάξῳ Rᵃ *C* ἀμάξῃ *B* 7. μέσων ERᵃ: μέσον A 8. τὸ θηρίον EA] corr. *He.* 11. ᾧκησε EA, corr. *Fab.* 13. Ζεὺς δὲ EA: ταύτης αἰτησαμένης add. Zenob. III 76 16. νηίδος νύμφης *Hr.*: σηίδος Rᵃ σηίδος νύμφης ἢ νηίδος A 19. υἱὸς *B* 20. λαοδόκον A, correxi 23. ἐγένετο A, corr. *He.* 25. παῖδα] μὲν add. *Hr.*, sed conf. Epit. Vat. p. 95

2 *Στερόπην καὶ Στρατονίκην καὶ Λαοφόντην· Καλυδῶ-* 59
νος δὲ καὶ Αἰολίας τῆς Ἀμυθάονος Ἐπικάστη ⟨καὶ⟩
Πρωτογένεια, ἐξ ἧς καὶ Ἄρεος Ὄξυλος. Ἀγήνωρ δὲ ὁ
Πλευρῶνος γήμας Ἐπικάστην τὴν Καλυδῶνος ἐγέννησε
Πορθάονα καὶ Δημονίκην, ἧς καὶ Ἄρεος Εὔηνος Μῶλος
Πύλος Θέστιος.

8 *Εὔηνος μὲν οὖν ἐγέννησε Μάρπησσαν, ἣν Ἀπόλ-* 60
λωνος μνηστευομένου Ἴδας ὁ Ἀφαρέως ἥρπασε, λαβὼν
παρὰ Ποσειδῶνος ἅρμα ὑπόπτερον. διώκων δὲ Εὔηνος
ἐφ' ἅρματος ἐπὶ τὸν Λυκόρμαν ἦλθε ποταμόν, καταλα-
βεῖν δ' οὐ δυνάμενος τοὺς μὲν ἵππους ἀπέσφαξεν,
ἑαυτὸν δ' εἰς τὸν ποταμὸν ἔβαλε· καὶ καλεῖται Εὔηνος
9 *ὁ ποταμὸς ἀπ' ἐκείνου. Ἴδας δὲ εἰς Μεσσήνην παρα-* 61
γίνεται, καὶ αὐτῷ ὁ Ἀπόλλων περιτυχὼν ἀφαιρεῖται
τὴν κόρην. μαχομένων δὲ αὐτῶν περὶ τῶν τῆς παιδὸς
γάμων, Ζεὺς διαλύσας ἐπέτρεψεν αὐτῇ τῇ παρθένῳ
ἑλέσθαι ὁποτέρῳ βούλεται συνοικεῖν· ἡ δὲ δείσασα,
ὡς ἂν μὴ γηρῶσαν αὐτὴν Ἀπόλλων καταλίπῃ, τὸν
Ἴδαν εἵλετο ἄνδρα.

10 *Θεστίῳ δὲ ἐξ Εὐρυθέμιδος τῆς Κλεοβοίας ἐγένοντο* 62
θυγατέρες μὲν Ἀλθαία Λήδα Ὑπερμνήστρα, ἄρρενες
δὲ Ἴφικλος Εὔιππος Πλήξιππος Εὐρύπυλος.

2 *Πορθάονος δὲ καὶ Εὐρύτης ⟨τῆς⟩ Ἱπποδάμαντος* 63
ἐγένοντο παῖδες Οἰνεὺς Ἄγριος Ἀλκάθοος Μέλας Λευ-
κωπεύς, θυγάτηρ δὲ Στερόπη, ἐξ ἧς καὶ Ἀχελῴου Σει-
ρῆνας γενέσθαι λέγουσιν.

1. *λεοφόντην* A, corr. *He.*; *Λεωφόντην Hr.* 2. *καὶ* add. *Aeg.* 5. *Δημοδίκη* schol. Apoll. Rhod. I 146 8. *ἀφάρεος* A, corr. *Aeg.* 13. *ἀπ' Hr.*: *παρ'* A *μεσήνην* A 18. *ὡς ἂν* del. *Hr.*, *φοβηθεῖσα μὴ γηράσασαν* ... Tzetz. Lycophr. 561 20. *τῆς Κλεοδαίου* vel *ἢ Κλεοβοίας He.* 21. *Λήδα* add. OR[a] 23. *τῆς* add. *He.* 24. *παῖδες*] *μὲν* add. *Hr.* 25. *στεροπὴ* A

64 Οἰνεὺς δὲ βασιλεύων Καλυδῶνος παρὰ Διονύσου 8
φυτὸν ἀμπέλου πρῶτος ἔλαβε. γήμας δὲ Ἀλθαίαν τὴν
Θεστίου γεννᾷ Τοξέα, ὃν αὐτὸς ἔκτεινεν ὑπερπηδή-
σαντα τὴν τάφρον, καὶ παρὰ τοῦτον Θυρέα καὶ Κλύμε-
μον, καὶ θυγατέρα Γόργην, ἣν Ἀνδραίμων ἔγημε, καὶ
Δηιάνειραν, ἣν Ἀλθαίαν λέγουσιν ἐκ Διονύσου γεν-
νῆσαι. αὕτη δ' ἡνιόχει καὶ τὰ κατὰ πόλεμον ἤσκει,
καὶ περὶ τῶν γάμων αὐτῆς Ἡρακλῆς πρὸς Ἀχελῷον
65 ἐπάλαισεν. ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως 2
Μελέαγρον, ὃν ἐξ Ἄρεος γεγεννῆσθαί φασι. τούτου δ'
ὄντος ἡμερῶν ἑπτὰ παραγενομένας τὰς μοίρας φασὶν
εἰπεῖν, ⟨ὅτι⟩ τότε τελευτήσει Μελέαγρος, ὅταν ὁ καιό-
μενος ἐπὶ τῆς ἐσχάρας δαλὸς κατακαῇ. τοῦτο ἀκού-
σασα τὸν δαλὸν ἀνείλετο Ἀλθαία καὶ κατέθετο εἰς
λάρνακα. Μελέαγρος δὲ ἀνὴρ ἄτρωτος καὶ γενναῖος 2
66 γενόμενος τόνδε τὸν τρόπον ἐτελεύτησεν. ἐτησίων
καρπῶν ἐν τῇ χώρᾳ γενομένων τὰς ἀπαρχὰς Οἰνεὺς
θεοῖς πᾶσι θύων μόνης Ἀρτέμιδος ἐξελάθετο. ἡ δὲ
μηνίσασα κάπρον ἐφῆκεν ἔξοχον μεγέθει τε καὶ ῥώμῃ,
ὃς τήν τε γῆν ἄσπορον ἐτίθει καὶ τὰ βοσκήματα καὶ
τοὺς ἐντυγχάνοντας διέφθειρεν. ἐπὶ τοῦτον τὸν κάπρον 3
τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε, καὶ
τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον
67 ἐπηγγείλατο. οἱ δὲ συνελθόντες ἐπὶ τὴν τοῦ κάπρου

1. περὶ pro παρὰ (ut saepissime) *B* 2. πρῶτος ER[a]: πρῶτα A 4. τούτῳ A, corr. *Fab.* 7. αὕτη E: αὐτὴ A ἡνιοχεῖν κατὰ πόλεμον E 9. παῖδας *C* 11. φασὶν E Zenob. V 33: φασὶ δὲ A 12. ὅτι om. EA, add. Diod. IV 34, 6 *He.* * τελεύτησει μελέαγρος EA Zenob.: τελευτήσειν μελέαγρον LN 15. ἄτρωτος καὶ EA, om. Zenob. *Hr.*, sed conf. Epit. Vat. p. 90 18. ἐξελάθετο EA: ἐπελάθετο Zenob. 18 s. ἡ δὲ μηνίσασα *E ἡ δὲ ὀργισθεῖσα Zenob.: μηνίσασα δὲ ἡ θεὸς A 23. κτείνοντι A Zenob., corr. *Aeg.*

θήραν ἦσαν οἵδε· Μελέαγρος Οἰνέως, Δρύας Ἄρεος,
ἐκ Καλυδῶνος οὗτοι, Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως ἐκ
Μεσσήνης, Κάστωρ καὶ Πολυδεύκης Διὸς καὶ Λήδας
4 ἐκ Λακεδαίμονος, Θησεὺς Αἰγέως ἐξ Ἀθηνῶν, Ἄδμητος
Φέρητος ἐκ Φερῶν, Ἀγκαῖος ⟨καὶ⟩ Κηφεὺς Λυκούργου ἐξ
Ἀρκαδίας, Ἰάσων Αἴσονος ἐξ Ἰωλκοῦ, Ἰφικλῆς Ἀμφι- 68
τρύωνος ἐκ Θηβῶν, Πειρίθους Ἰξίονος ἐκ Λαρίσης,
Πηλεὺς Αἰακοῦ ἐκ Φθίας, Τελαμὼν Αἰακοῦ ἐκ Σαλα-
μῖνος, Εὐρυτίων Ἄκτορος ἐκ Φθίας, Ἀταλάντη Σχοι-
νέως ἐξ Ἀρκαδίας, Ἀμφιάραος Οἰκλέους ἐξ Ἄργους·
5 μετὰ τούτων καὶ οἱ Θεστίου παῖδες. συνελθόντας δὲ 69
αὐτοὺς Οἰνεὺς ἐπὶ ἐννέα ἡμέρας ἐξένισε· τῇ δεκάτῃ
δὲ Κηφέως καὶ Ἀγκαίου καί τινων ἄλλων ἀπαξιούντων
μετὰ γυναικὸς ἐπὶ τὴν θήραν ἐξιέναι, Μελέαγρος ἔχων
γυναῖκα Κλεοπάτραν τὴν Ἴδα καὶ Μαρπήσσης θυγα-
τέρα, βουλόμενος δὲ καὶ ἐξ Ἀταλάντης τεκνοποιήσα-
σθαι, συνηνάγκασεν αὐτοὺς ἐπὶ τὴν θήραν μετὰ ταύ-
6 της ἐξιέναι. περιστάντων δὲ αὐτῶν τὸν κάπρον, Ὑλεὺς 70
μὲν καὶ Ἀγκαῖος ὑπὸ τοῦ θηρὸς διεφθάρησαν, Εὐρυ-
τίωνα δὲ Πηλεὺς ἄκων κατηκόντισε. τὸν δὲ κάπρον
πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος
δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν· Μελέαγρος δὲ αὐτὸν
εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε, καὶ λαβὼν τὸ δέρας
7 ἔδωκεν Ἀταλάντῃ. οἱ δὲ Θεστίου παῖδες, ἀδοξοῦντες 71
εἰ παρόντων ἀνδρῶν γυνὴ τὰ ἀριστεῖα λήψεται, τὸ

1. *Δρύας Aeg.*: *πύμας* A *καὶ Δρύας Hr.*, qui delet *οὗτοι* *οὗτος* R[a] 3. *μεσήνης* A 5. *καὶ* add. *Aeg.* 6. *ἰολκοῦ* A *ἀμφιτρίωνος* A 7. *λαρίσσης* A 10. *ἰοκλέους* A
14. *τὴν θήραν* A Zenob.: *τὸν κάπρον* E 15. *μαρπίσσης* A 16. *τέκνον ποιήσασθαι* E A, corr. *Fab.* 18. *αὐτὸν* A, corr. *Aeg.* *Ὑλεὺς Aeg.*: *πύλος* A

*δέρας αὐτῆς ἀφείλοντο, κατὰ γένος αὐτοῖς προσήκειν
λέγοντες, εἰ Μελέαγρος λαμβάνειν μὴ προαιροῖτο. ὀρ- 3
γισθεὶς δὲ Μελέαγρος τοὺς μὲν Θεστίου παῖδας ἀπέ-
κτεινε, τὸ δὲ δέρας ἔδωκε τῇ Ἀταλάντῃ. Ἀλθαία δὲ
λυπηθεῖσα ἐπὶ τῇ τῶν ἀδελφῶν ἀπωλείᾳ τὸν δαλὸν
ἧψε, καὶ ὁ Μελέαγρος ἐξαίφνης ἀπέθανεν.*

72 *οἱ δέ φασιν οὐχ οὕτω Μελέαγρον τελευτῆσαι,* 2
*ἀμφισβητούντων δὲ τῆς θήρας τῶν Θεστίου παίδων ὡς
Ἰφίκλου πρώτου βαλόντος, Κούρησι καὶ Καλυδωνίοις
πόλεμον ἐνστῆναι, ἐξελθόντος δὲ Μελεάγρου καί τινας
τῶν Θεστίου παίδων φονεύσαντος Ἀλθαίαν ἀράσασθαι*
73 *κατ' αὐτοῦ· τὸν δὲ ὀργιζόμενον οἴκοι μένειν. ἤδη δὲ* 3
*τῶν πολεμίων τοῖς τείχεσι προσπελαζόντων καὶ τῶν
πολιτῶν ἀξιούντων μεθ' ἱκετηρίας βοηθεῖν, μόλις πει-
σθέντα ὑπὸ τῆς γυναικὸς ἐξελθεῖν, καὶ τοὺς λοιποὺς
κτείναντα τῶν Θεστίου παίδων ἀποθανεῖν μαχόμενον.
μετὰ δὲ τὸν Μελεάγρου θάνατον Ἀλθαία καὶ Κλεοπά-* 4
*τρα ἑαυτὰς ἀνήρτησαν, αἱ δὲ θρηνοῦσαι τὸν νεκρὸν
γυναῖκες ἀπωρνεώθησαν.*

74 *Ἀλθαίας δὲ ἀποθανούσης ἔγημεν Οἰνεὺς Περίβοιαν* 4
*τὴν Ἱππονόου. ταύτην δὲ ὁ μὲν γράψας τὴν Θηβαΐδα
πολεμηθείσης Ὠλένου λέγει λαβεῖν Οἰνέα γέρας, Ἡσίο-
δος δὲ ἐξ Ὠλένου τῆς Ἀχαΐας, ἐφθαρμένην ὑπὸ Ἱππο-
στράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι
πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον*

1. *αὐτῇ* A *αὐτοὶ* E: *αὐτὴν* *He.*, *αὐτῆς* * restitui ex Zenob. et schol. Ar. ran. 1240: *Ἀταλάντης ἀφείλοντο* *ἀφείλαντο* E 4. *ἔδωκε* EA Zenob.: *ἀπέδωκε* *Hr.* 6. *ἧψε* EA: *ἀνῆψε* Zenob. (schol. idem) 8. *τῆς θήρας* E: *τῆς θήρας φασὶ* A 14. *μεθ' ἱκετηρίας ἀξιούντων* E 18. *ἀνήρτησαν* E, R[c] man. 2 in marg.: *ἀνήρπασαν* R[a] *C* *ἀνήπασαν* *B* 21. Thebais frg. 6 K. 22. Hesiod. frg. 97 Rz.

5 ἀποκτεῖναι. εἰσὶ δὲ οἱ λέγοντες Ἱππόνουν ἐπιγνόντα τὴν ἰδίαν θυγατέρα ἐφθαρμένην ὑπὸ Οἰνέως, ἔγκυον αὐτὴν πρὸς τοῦτον ἀποπέμψαι. ἐγεννήθη δὲ ἐκ ταύτης Οἰνεῖ Τυδεύς. Πείσανδρος δὲ αὐτὸν ἐκ Γόργης γενέσθαι λέγει· τῆς γὰρ θυγατρὸς Οἰνέα κατὰ τὴν βούλησιν Διὸς ἐρασθῆναι. 75

2 Τυδεὺς δὲ ἀνὴρ γενόμενος γενναῖος ἐφυγαδεύθη, 76
κτείνας, ὡς μέν τινες λέγουσιν, ἀδελφὸν Οἰνέως Ἀλκάθοον, ὡς δὲ ὁ τὴν Ἀλκμαιωνίδα γεγραφώς, τοὺς Μέλανος παῖδας ἐπιβουλεύοντας Οἰνεῖ, Φηνέα Εὐρύαλον Ὑπέρλαον Ἀντίοχον Εὐμήδην Στέρνοπα Ξάνθιππον Σθενέλαον, ὡς δὲ Φερεκύδης φησίν, Ὠλενίαν ἀδελφὸν
3 ἴδιον. Ἀγρίου δὲ δίκας ἐπάγοντος αὐτῷ φυγὼν εἰς Ἄργος ἧκε πρὸς Ἄδραστον, καὶ τὴν τούτου γήμας θυγατέρα Δηιπύλην ἐγέννησε Διομήδην.

Τυδεὺς μὲν οὖν ἐπὶ Θήβας μετ' Ἀδράστου στρα- 77
6 τευσάμενος ὑπὸ Μελανίππου τρωθεὶς ἀπέθανεν· οἱ δὲ Ἀγρίου παῖδες, Θερσίτης Ὀγχηστὸς Πρόθοος Κελεύτωρ Λυκωπεὺς Μελάνιππος, ἀφελόμενοι τὴν Οἰνέως βασιλείαν τῷ πατρὶ ἔδοσαν, καὶ προσέτι ζῶντα τὸν Οἰ-
2 νέα καθείρξαντες ᾐκίζοντο. ὕστερον δὲ Διομήδης ἐξ 78
Ἄργους παραγενόμενος μετ' Ἀλκμαίωνος κρύφα τοὺς μὲν Ἀγρίου παῖδας, χωρὶς Ὀγχηστοῦ καὶ Θερσίτου,

1. ἀποκτεῖναι *Fab.*: ἀποστεῖλαι A δὲ] τινες add. A, del. *Hr.* 4. Πείσανδρος] intellegendus videtur grammaticus, de quo conferas quae disputavit *E. Bethe*, Theb. Heldenl. p. 4 s. αὐτὴν A, corr. *He.* 9. ἀλκμαιονίδα A Alcmeonis frg. 4 K. 10. Φινέα *He.* 11. Περίλαον *He.* ἀντιόχην A, corr. *Fab.* Στέροπα *He.* 12. σθενέαλον A, corr. *He.* Pherecyd. frg. 83 17. ὑπὲρ A, corr. *Com.* 18. θέρσιππος A, corr. *Verheykius* 19. Οἰνέως τὴν βασιλείαν *He.* 22. Ἀλκμαίωνος ex Ephoro ap. Strab. X p. 709 *He.*: ἄλλον A 23. θερσίππον A, corr. *Verheykius*

*πάντας ἀπέκτεινεν (οὗτοι γὰρ φθάσαντες εἰς Πελοπόν-
νησον ἔφυγον), τὴν δὲ βασιλείαν, ἐπειδὴ γηραιὸς ἦν
ὁ Οἰνεύς, Ἀνδραίμονι τῷ τὴν θυγατέρα τοῦ Οἰνέως
γήμαντι δέδωκε, τὸν δὲ Οἰνέα εἰς Πελοπόννησον ἦγεν.*
79 *οἱ δὲ διαφυγόντες Ἀγρίου παῖδες ἐνεδρεύσαντες περὶ* 8
*τὴν Τηλέφου ἑστίαν τῆς Ἀρκαδίας τὸν πρεσβύτην ἀπέ-
κτειναν. Διομήδης δὲ τὸν νεκρὸν εἰς Ἄργος κομίσας
ἔθαψεν ἔνθα νῦν πόλις ἀπ' ἐκείνου Οἰνόη καλεῖται,
καὶ γήμας Αἰγιάλειαν τὴν Ἀδράστου, ⟨ἢ⟩ ὥς ἔνιοί φασι
τὴν Αἰγιαλέως, ἐπί τε Θήβας καὶ Τροίαν ἐστράτευσε.*
80 *τῶν δὲ Αἰόλου παίδων Ἀθάμας, Βοιωτίας δυνα-* 9
*στεύων, ἐκ Νεφέλης τεκνοῖ παῖδα μὲν Φρίξον θυγα-
τέρα δὲ Ἕλλην. αὖθις δὲ Ἰνὼ γαμεῖ, ἐξ ἧς αὐτῷ
Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. ἐπιβουλεύουσα δὲ* 2
*Ἰνὼ τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν
πυρὸν φρύγειν. λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν
τοῦτο ἔπρασσον. γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη
καρποὺς ἐτησίους οὐκ ἀνεδίδου· διὸ πέμπων ὁ Ἀθάμας* 3
81 *εἰς Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ
δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν ὡς εἴη κεχρησμέ-
νον παύσεσθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος.
τοῦτο ἀκούσας Ἀθάμας, συναναγκαζόμενος ὑπὸ τῶν* 4
τὴν γῆν κατοικούντων, τῷ βωμῷ παρέστησε Φρίξον.
82 *Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε, καὶ
παρ' Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν, ὑφ'*

9. ἢ add. *Emperius* 11. *Βοιωτίας δυναστεύων* *A: *δυ-
ναστεύων Βοιωτίας* E edd. 12. *μὲν παῖδα* A: *παῖδας μένον
καὶ* E (corruptum ex *παῖδα μὲν*) 14. *ἐγίνοντο* *B* 16 s. *λαμ-
βάνουσαι — ἔπρασσον* om. **Zenob. IV 38** *Hr.*, sed conf. Epit. Vat.
p. 92 17. *ἔπραττον* EN *πεφυρμένους* *C* 18. *οὐκ*] incip. **R**
fol. 22[r] 21. *παύσεσθαι* E: *παύσασθαι* A 25. *χρυσόμαλλον*
E*C*: *χρυσόμαλον* RR[a] *ὑφ'* *E **Tzetz. Lycophr. 21** (codd. Vitt. 1
et Ciz.): *ἐφ'* A

οὗ φερόμενοι δι' οὐρανοῦ γῆν ὑπερέβησαν καὶ θάλασ-
5 σαν. ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ κειμένην θά-
λασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν εἰς τὸν
βυθὸν ἡ Ἕλλη, κἀκεῖ θανούσης αὐτῆς ἀπ' ἐκείνης
6 Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Φρίξος δὲ ἦλθεν 83
εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευε παῖς Ἡλίου καὶ
Περσηίδος, ἀδελφὸς δὲ Κίρκης καὶ Πασιφάης, ἣν Μίνως
ἔγημεν. οὗτος αὐτὸν ὑποδέχεται, καὶ μίαν τῶν θυγα-
τέρων Χαλκιόπην δίδωσιν. ὁ δὲ τὸν χρυσόμαλλον
κριὸν Διὶ θύει φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ δί-
δωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεος ἄλσει
7 καθήλωσεν. ἐγένοντο δὲ ἐκ Χαλκιόπης Φρίξῳ παῖδες
Ἄργος Μέλας Φρόντις Κυτίσωρος.

2 Ἀθάμας δὲ ὕστερον διὰ μῆνιν Ἥρας καὶ τῶν ἐξ 84
Ἰνοῦς ἐστερήθη παίδων· αὐτὸς μὲν γὰρ μανεὶς ἐτό-
ξευσε Λέαρχον, Ἰνὼ δὲ Μελικέρτην μεθ' ἑαυτῆς εἰς
2 πέλαγος ἔρριψεν. ἐκπεσὼν δὲ τῆς Βοιωτίας ἐπυνθά-
νετο τοῦ θεοῦ ποῦ κατοικήσει· χρησθέντος δὲ αὐτῷ
κατοικεῖν ἐν ᾧπερ ἂν τόπῳ ὑπὸ ζῴων ἀγρίων ξενισθῇ,
πολλὴν χώραν διελθὼν ἐνέτυχε λύκοις προβάτων μοί-
ρας νεμομένοις· οἱ δέ, θεωρήσαντες αὐτόν, ἃ διῃροῦντο
ἀπολιπόντες ἔφυγον. Ἀθάμας δὲ κτίσας τὴν χώραν
3 Ἀθαμαντίαν ἀφ' ἑαυτοῦ προσηγόρευσε, καὶ γήμας Θε-
μιστὼ τὴν Ὑψέως ἐγέννησε Λεύκωνα Ἐρύθριον Σχοι-
νέα Πτῶον.

1. οὐρανοῦ] τὴν μεταξὺ add. E A, del *He. Br.* 2. ἐγένετο *B* 3. χερρονήσου E: χερροννήσου A 6. ὧν om. *B* 7. ἀδελφῆς E A, corr. *Scaliger* 9. χρυσόμαλλον E *C*: χρυσόμαλον R R[a] 10. θύει διὶ E R[a] δέρας E *B*: δέρος R R[a] *C* Tzetz. 13. Ἄργον Μέλανα Κάτιν Φρόντιν Σῶρον καὶ Ἕλλην memorat Tzetz. φρόνης A, corr. *Aeg.* κυτιασωρὸς A, corr. *He.* 18 ss. conf. schol. Plat. Min. 315 c. κατοικήσῃ *Br.* αὐτοῦ *B* 24 s. ἐρυθρόην . . . πτύον A, corr. *He.* (Ἔρυθρον Tzetz.)

85 *Σίσυφος δὲ ὁ Αἰόλου κτίσας Ἐφύραν τὴν νῦν* 3
λεγομένην Κόρινθον γαμεῖ Μερόπην τὴν Ἄτλαντος. ἐξ
αὐτῶν παῖς γίνεται Γλαῦκος, ᾧ παῖς Βελλεροφόντης
ἐξ Εὐρυμέδης ἐγεννήθη, ὃς ἔκτεινε τὴν πυρίπνουν
Χίμαιραν. κολάζεται δὲ Σίσυφος ἐν Ἅιδου πέτρον ταῖς 2
χερσὶ καὶ τῇ κεφαλῇ κυλίων, καὶ τοῦτον ὑπερβάλλειν
θέλων· οὗτος δὲ ὠθούμενος ὑπ' αὐτοῦ ὠθεῖται πάλιν
εἰς τοὐπίσω. τίνει δὲ ταύτην τὴν δίκην διὰ τὴν Ἀσω-
ποῦ θυγατέρα Αἴγιναν· ἁρπάσαντα γὰρ αὐτὴν κρύφα
Δία Ἀσωπῷ μηνῦσαι ζητοῦντι λέγεται.

86 *Δηιὼν δὲ βασιλεύων τῆς Φωκίδος Διομήδην τὴν* 4
Ξούθου γαμεῖ, καὶ αὐτῷ γίνεται θυγάτηρ μὲν Ἀστερο-
δία, παῖδες δὲ Αἰνετὸς Ἄκτωρ Φύλακος Κέφαλος, ὃς
γαμεῖ Πρόκριν τὴν Ἐρεχθέως. αὖθις δὲ ἡ Ἠὼς αὐτὸν
ἁρπάζει ἐρασθεῖσα.

87 *Περιήρης δὲ Μεσσήνην κατασχὼν Γοργοφόνην τὴν* 5
Περσέως ἔγημεν, ἐξ ἧς Ἀφαρεὺς αὐτῷ καὶ Λεύκιππος
καὶ Τυνδάρεως ἔτι τε Ἰκάριος παῖδες ἐγένοντο. πολλοὶ
δὲ τὸν Περιήρην λέγουσιν οὐκ Αἰόλου παῖδα ἀλλὰ
Κυνόρτα τοῦ Ἀμύκλα· διόπερ τὰ περὶ τῶν Περιήρους
ἐκγόνων ἐν τῷ Ἀτλαντικῷ γένει δηλώσομεν.

88 *Μάγνης δὲ γαμεῖ νύμφην νηίδα, καὶ γίνονται* 6

1. 5. *σύσιφος* *BC* *ὁ αἰόλου* *R: *αἰόλου* A, del. *Siebelis* 2 s. *καὶ ἐξ αὐτῶν* N, *ἐξ ὧν* *Hr.* 6. *ὑπερβαλεῖν* E 7. *οὗτος δὲ* EA: *ὄρους· ὁ δὲ* *Hr.* 10. *μηνῦσαι* E: *μηνύσαι* A 11. *δίων* A, ex I 51 corr. *Aeg.* (*Δηιονεύς* II 58) *τῆς Φθιώτιδος* *Gal.* 12. *αὐτ˜* R man. 1: *αὐτοῦ* A *ἀστεροπία* A, ex schol. Hom. *B* 250 et schol. Eurip. Tr. 9 corr. *Prellerus* Ber. d. sächs. Ges. d. Wiss. 1854 p. 121 14. *πρόκνην* A, corr. *Aeg.* *ἡ* del. *Hr.* 16. *μεσήνην* A 18. *καὶ Τυνδάρεως ἔτι δὲ Ἰκάριος* del. *He.* (conf. III 123) 20. *κυνόντου* A, corr. *Aeg.* 21. *ἐν τῷ Ἀτλαντικῷ γένει*] III 123 ss. 22. *δὲ*] *αἰόλου* add. A, del. *He.*

*αὐτῷ παῖδες Πολυδέκτης καὶ Δίκτυς· οὗτοι Σέριφον
ᾤκισαν.*

7 *Σαλμωνεὺς δὲ τὸ μὲν πρῶτον περὶ Θεσσαλίαν* 89
*κατῴκει, παραγενόμενος δὲ αὖθις εἰς Ἦλιν ἐκεῖ πόλιν
ἔκτισεν. ὑβριστὴς δὲ ὢν καὶ τῷ Διὶ ἐξισοῦσθαι θέλων
διὰ τὴν ἀσέβειαν ἐκολάσθη· ἔλεγε γὰρ ἑαυτὸν εἶναι
Δία, καὶ τὰς ἐκείνου θυσίας ἀφελόμενος ἑαυτῷ προσ-
έτασσε θύειν, καὶ βύρσας μὲν ἐξηραμμένας ἐξ ἅρματος
μετὰ λεβήτων χαλκῶν σύρων ἔλεγε βροντᾶν, βάλλων
δὲ εἰς οὐρανὸν αἰθομένας λαμπάδας ἔλεγεν ἀστράπτειν.
Ζεὺς δὲ αὐτὸν κεραυνώσας τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ
πόλιν καὶ τοὺς οἰκήτορας ἠφάνισε πάντας.*

8 *Τυρὼ δὲ ἡ Σαλμωνέως θυγάτηρ καὶ Ἀλκιδίκης* 90
*παρὰ Κρηθεῖ [τῷ Σαλμωνέως ἀδελφῷ] τρεφομένη ἔρωτα
ἴσχει Ἐνιπέως τοῦ ποταμοῦ, καὶ συνεχῶς ἐπὶ τὰ τούτου
ῥεῖθρα φοιτῶσα τούτοις ἐπωδύρετο. Ποσειδῶν δὲ εἰ-
κασθεὶς Ἐνιπεῖ συγκατεκλίθη αὐτῇ· ἡ δὲ γεννήσασα*
2 *κρύφα διδύμους παῖδας ἐκτίθησιν. ἐκκειμένων δὲ τῶν* 91
*βρεφῶν, παριόντων ἱπποφορβῶν ἵππος μία προσαψα-
μένη τῇ χηλῇ θατέρου τῶν βρεφῶν πέλιόν τι τοῦ προσ-
ώπου μέρος ἐποίησεν. ὁ δὲ ἱπποφορβὸς ἀμφοτέρους
τοὺς παῖδας ἀνελόμενος ἔθρεψε, καὶ τὸν μὲν πελιω-*
3 *θέντα Πελίαν ἐκάλεσε, τὸν δὲ ἕτερον Νηλέα. τελειω-* 92
*θέντες δὲ ἀνεγνώρισαν τὴν μητέρα, καὶ τὴν μητρυιὰν
ἀπέκτειναν Σιδηρώ· κακουμένην γὰρ γνόντες ὑπ' αὐ-
τῆς τὴν μητέρα ὥρμησαν ἐπ' αὐτήν, ἡ δὲ φθάσασα εἰς*

1. *πολυδεύκης* A, corr. *Aeg.* 2. *ᾤκησαν* A, corr. *He.* 5. *καὶ*] R fol. 22v 9. *χαλκέων* E 14. *κριθεῖ* A 16. *ἀπωδύρετο* A, corr. *Fab.*; *ἀπελούετο* *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429, *ἐπενήχετο* ex Philostr. Epist. 47 *Hr.* 18. *ἐγκειμένων* EA, corr. *Fab.* 19. *παριόντος ἱπποφορβοῦ* *Hr.* 20. *θηλῇ* A, corr. *Aeg.* 25. *σιδήρῳ* A, corr. *Meziriacus.*

τὸ τῆς Ἥρας τέμενος κατέφυγε, Πελίας δὲ ἐπ' αὐτῶν
τῶν βωμῶν αὐτὴν κατέσφαξε, καὶ καθόλου διετέλει τὴν
93 Ἥραν ἀτιμάζων. ἐστασίασαν δὲ ὕστερον πρὸς ἀλλήλους, 9
καὶ Νηλεὺς μὲν ἐκπεσὼν ἧκεν εἰς Μεσσήνην καὶ Πύ-
λον κτίζει, καὶ γαμεῖ Χλωρίδα τὴν Ἀμφίονος, ἐξ ἧς
αὐτῷ γίνεται θυγάτηρ μὲν Πηρώ, ἄρρενες δὲ Ταῦρος
Ἀστέριος Πυλάων Δηίμαχος Εὐρύβιος Ἐπίλαος Φράσιος,
Εὐρυμένης Εὐαγόρας Ἀλάστωρ Νέστωρ Περικλύμενος,
ᾧ δὴ καὶ Ποσειδῶν. δίδωσι μεταβάλλειν τὰς μορφάς, 2
καὶ μαχόμενος ὅτε Ἡρακλῆς ἐξεπόρθει Πύλον, γινό-
μενος ὁτὲ μὲν λέων ὁτὲ δὲ ὄφις ὁτὲ δὲ μέλισσα, ὑφ'
Ἡρακλέους μετὰ τῶν ἄλλων Νηλέως παίδων ἀπέθανεν.
94 ἐσώθη δὲ Νέστωρ μόνος, ἐπειδὴ παρὰ Γερηνίοις ἐτρέ- 3
φετο· ὃς γήμας Ἀναξιβίαν τὴν Κρατιέως θυγατέρας
μὲν Πεισιδίκην καὶ Πολυκάστην ἐγέννησε, παῖδας δὲ
Περσέα Στράτιχον Ἄρητον Ἐχέφρονα Πεισίστρατον
Ἀντίλοχον Θρασυμήδην.

95 Πελίας δὲ περὶ Θεσσαλίαν κατῴκει, καὶ γήμας 10
Ἀναξιβίαν τὴν Βίαντος, ὡς δὲ ἔνιοι Φυλομάχην τὴν
Ἀμφίονος, ἐγέννησε παῖδα μὲν Ἄκαστον, θυγατέρας
δὲ Πεισιδίκην Πελόπειαν Ἱπποθόην Ἄλκηστιν.

96 Κρηθεὺς δὲ κτίσας Ἰωλκὸν γαμεῖ Τυρὼ τὴν Σαλ- 11
μωνέως, ἐξ ἧς αὐτῷ γίνονται παῖδες Αἴσων Ἀμυθάων
Φέρης. Ἀμυθάων μὲν οὖν οἰκῶν Πύλον Εἰδομένην 2

4. μεσήνην A 6. Ταῦρος] καὶ add. A, del. *Br.* 7. Πυλάων] Λυκάων Asclepiades in schol. Apoll. Rhod. I 152 ἐπίδαος A, corr. *He.*, Ἐπιλέων schol. idem Φράσιος *He.*: ῥάδιος A; Φράσις schol. idem, Θρᾶσις *Hr.* 8. Εὐρυμένης] Ἀντιμένης schol. idem 9. καὶ * add. R 14. ἀναξιβοίαν A, corr. *Aeg.* Κρατιέως] Ἀτρέως *Meziriacus*, Κατρέως *He.* 16. Στρατίον *Sommerus* 19. ἀνοιβίαν A, corr. *Aeg.* ἔνιοι *R: ἔνιοι λέγουσι A φιλομάχην *C* (Tzetz. Lycophr. 175 p. 434) 21. πελοπείαν A 22. κριθεὺς A 24. πύλον E: πύλην A

*γαμεῖ τὴν Φέρητος, καὶ γίνονται παῖδες αὐτῷ Βίας
καὶ Μελάμπους, ὃς ἐπὶ τῶν χωρίων διατελῶν, οὔσης
πρὸ τῆς οἰκήσεως αὐτοῦ δρυὸς ἐν ᾗ φωλεὸς ὄφεων
ὑπῆρχεν, ἀποκτεινάντων τῶν θεραπόντων τοὺς ὄφεις·
τὰ μὲν ἑρπετὰ ξύλα συμφορήσας ἔκαυσε, τοὺς δὲ τῶν*
3 *ὄφεων νεοσσοὺς ἔθρεψεν. οἱ δὲ γενόμενοι τέλειοι* 97
*παραστάντες αὐτῷ κοιμωμένῳ τῶν ὤμων ἐξ ἑκατέρου τὰς
ἀκοὰς ταῖς γλώσσαις ἐξεκάθαιρον. ὁ δὲ ἀναστὰς καὶ
γενόμενος περιδεὴς τῶν ὑπερπετομένων ὀρνέων τὰς
φωνὰς συνίει, καὶ παρ' ἐκείνων μανθάνων προύλεγε
τοῖς ἀνθρώποις τὰ μέλλοντα. προσέλαβε δὲ καὶ τὴν
διὰ τῶν ἱερῶν μαντικήν, περὶ δὲ τὸν Ἀλφειὸν συν-
τυχὼν Ἀπόλλωνι τὸ λοιπὸν ἄριστος ἦν μάντις.*
12 *Βίας δὲ ἐμνηστεύετο Πηρὼ τὴν Νηλέως· ὁ δὲ* 98
*πολλῶν αὐτῷ μνηστευομένων τὴν θυγατέρα δώσειν
ἔφη τῷ τὰς Ἰφίκλου βόας κομίσαντι αὐτῷ. αὗται δὲ
ἦσαν ἐν Φυλάκῃ, καὶ κύων ἐφύλασσεν αὐτὰς οὗ οὔτε*
2 *ἄνθρωπος οὔτε θηρίον πέλας ἐλθεῖν ἠδύνατο. ταύ-
τας ἀδυνατῶν Βίας τὰς βόας κλέψαι παρεκάλει τὸν
ἀδελφὸν συλλαβέσθαι. Μελάμπους δὲ ὑπέσχετο, καὶ* 99
προεῖπεν ὅτι φωραθήσεται κλέπτων καὶ δεθεὶς ἐνιαυ-
3 *τὸν οὕτω τὰς βόας λήψεται. μετὰ δὲ τὴν ὑπόσχεσιν
εἰς Φυλάκην ἀπῄει καί, καθάπερ προεῖπε, φωραθεὶς*
4 *ἐπὶ τῇ κλοπῇ δέσμιος ἐν οἰκήματι ἐφυλάσσετο. λειπο-*

1. *τὴν Φέρητος*] Abantis filia est II 27 7. *παραστάντες* E: *περιστάντες* A 8 s. *καὶ γενόμενος περιδεὴς* EA, del *Hr.*
10. *μαθάνων* R 12. *διὰ Piersonus*: *ἐπὶ* EA 12 s. *περὶ τὸν Ἀλφειὸν συντυχὼν Ἀπόλλωνι· τὸ δὲ λοιπὸν* . . . proposui Comm. Ribb. p. 142 s. 14. *Βίας δὲ*] *ὁ Ἀμυθάονος* add. A, del. *He.* 15. *αὐτ῀* R man. 1: *αὐτοῦ* A 16. *Ἰφίκλου Aeg.*: *φυλάκου* A, *Ἰφίκλου τοῦ Φυλάκου Gal.* 17. *οὗ He.*: *ὃν* RR[a]*B* *ὧν C* 18. *ταύτας*] R fol. 23[r] 19. *τὰς βόας ἀδυνατῶν Βίας Hr.* *βίᾳ C* 24. *δεσμοῖς* A, corr. *Br.*

μένου δὲ τοῦ ἐνιαυτοῦ βραχέος χρόνου, τῶν κατὰ τὸ
κρυφαῖον τῆς στέγης σκωλήκων ἀκούει, τοῦ μὲν ἐρω-
τῶντος πόσον ἤδη μέρος τοῦ δοκοῦ διαβέβρωται, τῶν
100 δὲ ἀποκρινομένων λοιπὸν ἐλάχιστον εἶναι. καὶ ταχέως
ἐκέλευσεν αὐτὸν εἰς ἕτερον οἴκημα μεταγαγεῖν, γενο-
μένου δὲ τούτου μετ' οὐ πολὺ συνέπεσε τὸ οἴκημα.
θαυμάσας δὲ Φύλακος, καὶ μαθὼν ὅτι ἐστὶ μάντις 5
ἄριστος, λύσας παρεκάλεσεν εἰπεῖν ὅπως αὐτοῦ τῷ
παιδὶ Ἰφίκλῳ παῖδες γένωνται. ὁ δὲ ὑπέσχετο ἐφ' ᾧ
101 τὰς βόας λήψεται. καὶ καταθύσας ταύρους δύο καὶ
μελίσας τοὺς οἰωνοὺς προσεκαλέσατο· παραγενομένου 6
δὲ αἰγυπιοῦ, παρὰ τούτου μανθάνει δὴ ὅτι Φύλακός
ποτε κριοὺς τέμνων ἐπὶ τῶν αἰδοίων παρὰ τῷ Ἰφίκλῳ
τὴν μάχαιραν ᾑμαγμένην ἔτι κατέθετο, δείσαντος δὲ
τοῦ παιδὸς καὶ φυγόντος αὖθις κατὰ τῆς ἱερᾶς δρυὸς
αὐτὴν ἔπηξε, καὶ ταύτην ἀμφιτροχάσας ἐκάλυψεν ὁ
φλοιός. ἔλεγεν οὖν, εὑρεθείσης τῆς μαχαίρας εἰ ξύων 7
τὸν ἰὸν ἐπὶ ἡμέρας δέκα Ἰφίκλῳ δῷ πιεῖν, παῖδα γεν-
102 νήσειν. ταῦτα μαθὼν παρ' αἰγυπιοῦ Μελάμπους τὴν
μὲν μάχαιραν εὗρε, τῷ δὲ Ἰφίκλῳ τὸν ἰὸν ξύσας ἐπὶ
ἡμέρας δέκα δέδωκε πιεῖν, καὶ παῖς αὐτῷ Ποδάρκης
ἐγένετο. τὰς δὲ βόας εἰς Πύλον ἤλασε, καὶ τῷ ἀδελφῷ 8
τὴν Νηλέως θυγατέρα λαβὼν ἔδωκε. καὶ μέχρι μέν
τινος ἐν Μεσσήνῃ κατῴκει, ὡς δὲ τὰς ἐν Ἄργει γυναῖ-

1. *τῷ ἐνιαυτ˜* R 2. *κρυφαῖον* RR^{a}*B*: *κορυφαῖον* *C*, PR^{c} in marg., *ὀροφιαῖον* *Fab. Hr.* 4. *ἀποκρινομένων* R: *ἀποκριναμένων* A 8. *ἄριστος* del. *He.* 8 s. *ὅπως* ⟨*ἂν*⟩ . . . *γένοιντο* *Hr.* 11. *μελίσας* R*C*: *μελίσσας* R^{a}V *μελ[λ]είσας* *B* 12. *δὴ* del. *Hr.* 13. *ἐκτέμνων* *Hr.*, qui verba *ἐπὶ τῶν αἰδοίων* delet. *αἰδοίων* R: *αἰβίων* A, *ἀγρῶν* *Aeg.* 16. *ἀμφιτροχάσας* R: *ἀμφιτροχώσας* A 17. *εἰ ξύων*] *ἂν ξύσας* *Hr.* 19. *παρ' αἰγυπιοῦ* aut delendum aut *παρὰ τοῦ αἰγυπιοῦ* scribendum censet *Hr.* 24. *μεσήνη* A

κας ἐξέμηνε Διόνυσος, ἐπὶ μέρει τῆς βασιλείας ἰασά-
μενος αὐτὰς ἐκεῖ μετὰ Βίαντος κατῴκησε.
13 *Βίαντος δὲ καὶ Πηροῦς Ταλαός, οὗ καὶ Λυσιμάχης* 103
τῆς Ἄβαντος τοῦ Μελάμποδος Ἄδραστος Παρθενοπαῖος
Πρῶναξ Μηκιστεὺς Ἀριστόμαχος Ἐριφύλη, ἣν Ἀμφιά-
2 *ραος γαμεῖ. Παρθενοπαίου δὲ Πρόμαχος ἐγένετο, ὃς*
μετὰ τῶν ἐπιγόνων ἐπὶ Θήβας ἐστρατεύθη, Μηκιστέως
δὲ Εὐρύαλος, ὃς ἧκεν εἰς Τροίαν. Πρώνακτος δὲ ἐγέ-
νετο Λυκοῦργος, Ἀδράστου δὲ καὶ Ἀμφιθέας τῆς Πρώ-
νακτος θυγατέρες μὲν Ἀργεία Δηιπύλη Αἰγιάλεια, παῖ-
δες δὲ Αἰγιαλεὺς ⟨καὶ⟩ Κυάνιππος.
14 *Φέρης δὲ ὁ Κρηθέως Φερὰς ἐν Θεσσαλίᾳ κτίσας* 104
ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν
οὖν περὶ Νεμέαν κατῴκησε, γήμας δὲ Εὐρυδίκην, ὡς
δὲ ἔνιοί φασιν Ἀμφιθέαν, ἐγέννησεν Ὀφέλτην ⟨τὸν
15 *ὕστερον⟩ κληθέντα Ἀρχέμορον. Ἀδμήτου δὲ βασιλεύ-* 105
οντος τῶν Φερῶν, ἐθήτευσεν Ἀπόλλων αὐτῷ μνηστευο-
μένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν. ἐκείνου δὲ δώ-
σειν ἐπαγγειλαμένου τὴν θυγατέρα τῷ καταζεύξαντι
ἅρμα λέοντος καὶ κάπρου, Ἀπόλλων ζεύξας ἔδωκεν· ὁ
2 *δὲ κομίσας πρὸς Πελίαν Ἄλκηστιν λαμβάνει. θύων δὲ*
ἐν τοῖς γάμοις ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ τοῦτο
τὸν θάλαμον ἀνοίξας εὗρε δρακόντων σπειράμασι πε-
πληρωμένον. Ἀπόλλων δὲ εἰπὼν ἐξιλάσκεσθαι τὴν 106

1. *ἐπὶ* R: *ὑπὸ* A *τῆς* R: *τοῦ* A 5. *πρώναξ* A
7. *ἐστρατεύσατο* vel *ἐστράτευσε* scribendum esse censet *Hr.*
10. *ἀργία* A, corr. *He.* 11. *καὶ* add. *Hr.* 12. *κριθέως* A
15 s. *τὸν ὕστερον* add. *Hr.* 18 ss. *πελλίου* saepius R, reliqui passim 18 s. *ἐκείνω* (sic R) . . . *ἐπαγγειλαμένου πελλίου* A, corr. *He.* 20. *λεόντων καὶ κάπρων* A, corr. *He.* 23. *σπείραμα* A, corr. *Toussaint*, *δρακοντείων σπειραμάτων Hr.* *πεπλεγμένον Sommerus*

θεόν, ᾐτήσατο παρὰ μοιρῶν ἵνα, ὅταν Ἄδμητος μέλλῃ
τελευτᾶν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ
αὐτοῦ θνήσκειν ἕληται. ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν 3
ἡμέρα, μήτε τοῦ πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ
θνήσκειν θελόντων, Ἄλκηστις ὑπεραπέθανε. καὶ αὐτὴν
πάλιν ἀνέπεμψεν ἡ Κόρη, ὡς δὲ ἔνιοι λέγουσιν, Ἡρα-
κλῆς ⟨πρὸς αὐτὸν ἀνεκόμισε⟩ μαχεσάμενος Ἅιδῃ.
107 Αἴσονος δὲ τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτο- 16
λύκου Ἰάσων. οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ
Πελίας ἐβασίλευσε μετὰ Κρηθέα, ᾧ χρωμένῳ περὶ τῆς
βασιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξα-
σθαι. τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις 2
108 δὲ ὕστερον αὐτὸν ἔγνω. τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ
Ποσειδῶνι θυσίαν ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ
τὸν Ἰάσονα μετεπέμψατο. ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς 3
χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν· διαβαίνων
δὲ ποταμὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον
ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. θεασάμενος δὲ Πε- 4
λίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα προσ-
ελθών, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν
109 αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. ὁ δέ,
εἴτε ἐπελθὸν ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι
κακὸν Μήδεια Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), "τὸ

1. παρὰ RR[a]: περὶ A 3. ἕληται] πατὴρ ἢ μήτηρ ἢ γυνὴ add. A., del. *He.* ὡς] **R. fol. 23[v]** 5. μελλόντων R, suprascr. man. 1 θελόντων 7. πρὸς αὐτὸν * addidi ex **Zenob. I 18** ἀνεκόμισε ex Zenob. add. *Fischerus* 8 ss. Κριθέως A 8. Πολυμήδης] Πολυμήλα Hesiod. frg. 39 Rz., Πολυφήμη Herodor. ap. schol. Apoll. Rhod. I 45 10. ἐβασίλευε **Zenob. IV 92** *Hr.* 13. ἔγνω EA: ἐπέγνω Zenob. *Hr.* 14. θυσίαν ER Zenob.: θυσίας A ταύτῃ A Zenob.: ταύτην *Hr.* 16. χωριδίοις E ἔσπευσεν EA: ἔσπευδεν Zenob. *Hr.* 20. τί E: τίς A 22. ἐπελθὸν ERR[a]: ἐπελθὼν A ἔλθῃ R[a] 23. μήδεια ER: μήδει A

χρυσόμαλλον δέρας” ἔφη “προσέταττον ἂν φέρειν αὐ-
5 *τῷ”. τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν*
ἐκέλευσεν αὐτόν. τοῦτο δὲ ἐν Κόλχοις ἦν ⟨ἐν⟩ Ἄρεος
ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δρά-
κοντος ἀύπνου.
6 *ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε* 110
τὸν Φρίξου, κἀκεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόν-
τορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ
κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμο-
7 *σεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. ὡς*
δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν
ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος.
οἱ δὲ συναθροισθέντες εἰσὶν οἵδε· Τῖφυς Ἁγνίου, ὃς 111
ἐκυβέρνα τὴν ναῦν, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κά-
λαϊς Βορέου, Κάστωρ καὶ Πολυδεύκης Διός, Τελαμὼν
8 *καὶ Πηλεὺς Αἰακοῦ, Ἡρακλῆς Διός, Θησεὺς Αἰγέως,*
Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Ὀικλέους,
† *Καινεὺς Κορώνου, Παλαίμων Ἡφαίστου ἢ Αἰτωλοῦ,* 112
Κηφεὺς Ἀλεοῦ, Λαέρτης Ἀρκεισίου, Αὐτόλυκος Ἑρ-
μοῦ, Ἀταλάντη Σχοινέως, Μενοίτιος Ἄκτορος, Ἄκτωρ

2. *ἐλθεῖν* A Zenob.: *πλεῖν* E 3. *ἐν* add. *Fab.* 7. *τὸν Φρίξου* del *He.* (*Ἄργος Ἀρεστορίδης* Apoll. Rhod. I 111) 10. *φωνῆεν* ER: *φωνῇ* A *δωδώνιδος* CPR[c] 11. *κατεσκευάσθη*] *καὶ* add. A, del. *He.* *αὐτῷ* del. *He.* 12. *ἀπέτρεψε* *BC*
13 ss. Argonautarum catalogos vide **Pind. Pyth. 4, 117—187** cum scholiis, **Apoll. Rhod. I 23—227** cum scholiis, **Hyg. fab. 14, Val. Flacc. I 353—483, Orph. Arg. 119—231** (conf. *Seeligerum* in Roscheri Lex. myth. I p. 507 ss.) 13. *ἁγρίου* A, corr. *Aeg.* 13 s. *τὴν ναῦν ὃς ἐκυβέρνα* A, transpos. *He.* 16. *Θησεὺς Αἰγέως* *Aeg.*: *αἰγεὺς θησέως* A 17. *ἰοκλέους* A, corr. *Aeg.* 18. *Καινεὺς Κορώνου*] conf. schol. Apoll. Rhod. I 57. *Κόρωνος Καινέως* *Clavierius*; erat fortasse *Καινεὺς ⟨Ἐλάτου⟩, Κόρωνος ⟨Καινέως⟩* (conf. Hyg. 14) *Παλαίμων*] *Παλαιμόνιος*? (Apoll. Rhod. I 202 s.)

Ἱππάσου, Ἄδμητος Φέρητος, Ἄκαστος Πελίου, Εὔρυ-
τος Ἑρμοῦ, Μελέαγρος Οἰνέως, Ἀγκαῖος Λυκούργου,
Εὔφημος Ποσειδῶνος, Ποίας Θαυμάκου, Βούτης Τε- 9
113 λέοντος, Φᾶνος καὶ Στάφυλος Διονύσου, Ἐργῖνος Πο-
σειδῶνος, Περικλύμενος Νηλέως, Αὐγέας Ἡλίου, Ἴφι-
κλος Θεστίου, Ἄργος Φρίξου, Εὐρύαλος Μηκιστέως,
Πηνέλεως Ἱππάλμου, Λήιτος Ἀλέκτορος, Ἴφιτος Ναυ-
βόλου, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεος, Ἀστέριος Κο-
μήτου, Πολύφημος Ἐλάτου.

114 οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσ- 17
ίσχουσι Λήμνῳ. ἔτυχε δὲ ἡ Λῆμνος ἀνδρῶν τότε οὖσα
ἔρημος, βασιλευομένη δὲ ὑπὸ Ὑψιπύλης τῆς Θόαντος
δι' αἰτίαν τήνδε. αἱ Λήμνιαι τὴν Ἀφροδίτην οὐκ ἐτί-
μων· ἡ δὲ αὐταῖς ἐμβάλλει δυσοσμίαν, καὶ διὰ τοῦτο
οἱ γήμαντες αὐτὰς ἐκ τῆς πλησίον Θρᾴκης λαβόντες
115 αἰχμαλωτίδας συνευνάζοντο αὐταῖς. ἀτιμαζόμεναι δὲ 2
αἱ Λήμνιαι τούς τε πατέρας καὶ τοὺς ἄνδρας φονεύουσι·
μόνη δὲ ἔσωσεν Ὑψιπύλη τὸν ἑαυτῆς πατέρα κρύψασα
Θόαντα. προσσχόντες οὖν τότε γυναικοκρατουμένῃ τῇ
Λήμνῳ μίσγονται ταῖς γυναιξίν. Ὑψιπύλη δὲ Ἰάσονι

1. *Εὔρυτος* A Val. Flacc. I 439 Hyg. 14: *Ἔρυτος* Apoll. Rhod. I 52 Pind. 179 3. *Θαυμάκου*] *Φυλάκου* *Burmannus*, sed conf. Steph. Byz. s. v. *Θαυμακία* 4. *φάνος* A, *Φλίας* (Apoll. Rhod. I 115) *Hemsterhusius* *Ἐργῖνος* A, Apoll. Rhod. I 185: *Εὔφημος* (Apoll. Rhod. I 179) *Gal.* 5. *μηλέως* *C* 6. *Φρίξου*] conf. adn. I 110 7. *Ἱππάλμου* A: *Ἱππάλκμου* schol. min. Hom. *B* 494, *Ἱππαλκίμου* Diod. IV 67, 7 *Wesselingius* *Ἀλέκτορος*] *Ἀλεκτρυόνος* Hom. *P* 602, schol. Hom. l. l., *Ἠλεκτρυόνος* Diod. l. l. *Wesselingius* *ἴφιτος* RR^{a}: *ἴριτος* *C* *ἔριτος* *B* 8. *ἄλμενος* A, corr. *Gal.* (Hom. *B* 512) *Ἀστερίων* Apoll. Rhod. I 35 ss. Orph. 161 *Eschenburgius* 10. *ἀναχθέντες* E: *ἀνενεχθέντες* A 11. *τότε* ER: *ποτε* A 12. *βασιλευομένη* ER: *βασιλευομένης* A 19. *προσχόντες* EA, corr. *He.*

συνευνάζεται, καὶ γεννᾷ παῖδας Εὔνηον καὶ Νεβροφόνον.

18 ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσιν, ὧν ἐβασί- 116
λευε Κύζικος. οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως.
νυκτὸς δὲ ἀναχθέντες ἐντεῦθεν καὶ περιπεσόντες ἀντιπνοίαις, ἀγνοοῦντες πάλιν τοῖς Δολίοσι προσίσχουσιν.
οἱ δὲ νομίζοντες Πελασγικὸν εἶναι στρατόν (ἔτυχον
γὰρ ὑπὸ Πελασγῶν συνεχῶς πολεμούμενοι) μάχην τῆς
2 νυκτὸς συνάπτουσιν ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. κτείναντες δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ὡς ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας ἐκείραντο καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν. καὶ μετὰ τὴν ταφὴν πλεύσαντες Μυσίᾳ προσίσχουσιν.

19 ἐνταῦθα δὲ Ἡρακλέα καὶ Πολύφημον κατέλιπον. 117
Ὕλας γὰρ ὁ Θειοδάμαντος παῖς, Ἡρακλέους δὲ ἐρώμενος, ἀποσταλεὶς ὑδρεύσασθαι διὰ κάλλος ὑπὸ νυμφῶν
2 ἡρπάγη. Πολύφημος δὲ ἀκούσας αὐτοῦ βοήσαντος, σπασάμενος τὸ ξίφος ἐδίωκεν, ὑπὸ λῃστῶν ἄγεσθαι νομίζων. καὶ δηλοῖ συντυχόντι Ἡρακλεῖ. ζητούντων δὲ ἀμφοτέρων τὸν Ὕλαν ἡ ναῦς ἀνήχθη, καὶ Πολύφημος μὲν ἐν Μυσίᾳ κτίσας πόλιν Κίον ἐβασίλευσεν, Ἡρα-
3 κλῆς δὲ ὑπέστρεψεν εἰς Ἄργος. Ἡρόδωρος δὲ αὐτὸν 118
οὐδὲ τὴν ἀρχήν φησι πλεῦσαι τότε, ἀλλὰ παρ' Ὀμφάλῃ δουλεύειν. Φερεκύδης δὲ αὐτὸν ἐν Ἀφεταῖς τῆς Θεσ-

1. συνευνάζεται] **explic. R fol. 23v** 3. δολίοις E A, corr. *Aeg.* 5. δὲ add. E 6. ἀγνοοῦντες del. *Br.* δολίοις A 7. πελασγικὸν E: πλαστικὸν A 7 ss. -τὸν ἔτυχον — νυκτὸς συ- om. *B* 8. πελασγῶν E: πελαστῶν A 8 s. τῆς νυκτὸς del. *Hr.* 14. δὲ *He.*: τε R[a] *C* τη *B* 15. ὕλλας E θεοδάμαντος *B*, μὲν add. *Hr.* 16. ἀποσταλεὶς ὑδρεύσασθαι E A: πρὸς θήραν πέμπουσιν **Zenob. VI 21** 18. ἐδίωκεν Zenob. *Hr.*: ἐδίωξεν E A 21. κίον *E: κίου A 22. ἡρόδοτος A, corr. *Fab.* Herodor. frg. 27 (F H G II p. 35) 23. fort. ἀλλὰ τότε 24. Pherecyd. frg. 67

*σαλίας ἀπολειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης
μὴ δύνασθαι φέρειν τὸ τούτου βάρος. Δημάρατος δὲ* 4
*αὐτὸν εἰς Κόλχους πεπλευκότα παρέδωκε· Διονύσιος
μὲν γὰρ αὐτὸν καὶ ἡγεμόνα φησὶ τῶν Ἀργοναυτῶν
γενέσθαι.*

119 *ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν,* 20
*ἧς ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ ⟨νύμφης⟩
Βιθυνίδος. γενναῖος δὲ ὢν οὗτος τοὺς προσσχόντας
ξένους ἠνάγκαζε πυκτεύειν καὶ τοῦτον τὸν τρόπον
ἀνῄρει. παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργὼ
τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προεκαλεῖτο. Πολυδεύ-* 2
*κης δὲ ὑποσχόμενος πυκτεύσειν πρὸς αὐτόν, πλήξας
κατὰ τὸν ἀγκῶνα ἀπέκτεινε. τῶν δὲ Βεβρύκων ὁρμη-
σάντων πρὸς αὐτόν, ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα
πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.*

120 *ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν τῆς Θρᾴ-* 21
*κης Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεὺς μάντις τὰς ὄψεις
πεπηρωμένος. τοῦτον οἱ μὲν Ἀγήνορος εἶναι λέγου-
σιν, οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναί φασιν αὐ-* 2
*τὸν οἱ μὲν ὑπὸ θεῶν, ὅτι προέλεγε τοῖς ἀνθρώποις τὰ
μέλλοντα, οἱ δὲ ὑπὸ Βορέου καὶ τῶν Ἀργοναυτῶν, ὅτι*

2. *τούτου τὸ B* *δημαρέτης* A, corr. *Aeg.* Demarat. frg. 6 (FHG. IV p. 380) 3. Dionys. Mytil. frg. 1 (FHG. II p. 7) 6. *ἀπῆλθεν* A, corr. *Gal.* 7. *ἣν B* *ἐβασίλευσεν* R[a] *C*: *ἐβούσευσεν B*. corr. *Fab.* 8. *Βιθυνίδος*] *νύμφης Βιθυνίδος ἢ Μελίας* (*πελίας* codd.) schol. Plat. Legg. VII p. 796a *Hr.* *προσίσχοντας Br.*, sed. conf. *Hr.* Philol. IV p. 569 11. *προσεκαλεῖτο* A, corr. *Fab.* 13. *τοῦ ἀγκῶνος Hr.*, *τὸν αὐχένα Palmerius*; erat fortasse *τὸν ἀγῶνα* 14. *ἐπ' αὐτὸν Br.* 15. *φεύγοντας* del. *Hr.* Herm. XI p. 233 16. *τὴν* * add. E 17. *ἀλμυδησσὸν* ER[a] (*ἀλμ.*) 18. *μὲν*] *τὸν* add. A, del. *Hr.* 20. *προέλεγε* *E: *προύλεγε* A 21. *Βορέου καὶ τῶν Ἀργοναυτῶν* (= III 200)] *Βορεαδῶν κ. τ. Ἀργ. Clavierius*, *Βορέου* Diod. IV 44, 4 *E. Bethe*, Quaest. Diod. p. 17.

πεισθεὶς μητρυιᾷ τοὺς ἰδίους ἐτύφλωσε παῖδας, τινὲς
δὲ ὑπὸ Ποσειδῶνος, ὅτι τοῖς Φρίξου παισὶ τὸν ἐκ Κόλ-
3 χων εἰς τὴν Ἑλλάδα πλοῦν ἐμήνυσεν. ἔπεμψαν δὲ 121
αὐτῷ καὶ τὰς ἁρπυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗ-
ται, καὶ ἐπειδὴ τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐ-
ρανοῦ καθιπτάμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα
δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι
4 προσενέγκασθαι. βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ
περὶ τοῦ πλοῦ μαθεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη,
τῶν ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. οἱ δὲ παρέ-
θεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων, ἅρπυιαι δὲ ἐξαίφνης
5 σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν ἥρπασαν. θεασάμενοι 122
δὲ οἱ Βορέου παῖδες Ζήτης καὶ Κάλαϊς, ὄντες πτερω-
τοί, σπασάμενοι τὰ ξίφη δι' ἀέρος ἐδίωκον. ἦν δὲ ταῖς
ἁρπυίαις χρεὼν τεθνάναι ὑπὸ τῶν Βορέου παίδων,
τοῖς δὲ Βορέου παισὶ τότε τελευτήσειν ὅταν διώκοντες
6 μὴ καταλάβωσι. διωκομένων δὲ τῶν ἁρπυιῶν ἡ μὲν
κατὰ Πελοπόννησον εἰς τὸν Τίγρην ποταμὸν ἐμπίπτει,
ὃς νῦν ἀπ' ἐκείνης Ἅρπυς καλεῖται· ταύτην δὲ οἱ μὲν
7 Νικοθόην οἱ δὲ Ἀελλόπουν καλοῦσιν. ἡ δὲ ἑτέρα κα- 123
λουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη (Ἡσίοδος δὲ
λέγει αὐτὴν Ὠκυπόδην), αὕτη κατὰ τὴν Προποντίδα
φεύγουσα μέχρις Ἐχινάδων ἦλθε νήσων, αἳ νῦν ἀπ'
ἐκείνης Στροφάδες καλοῦνται· ἐστράφη γὰρ ὡς ἦλθεν
ἐπὶ ταύτας, καὶ γενομένη κατὰ τὴν ἠιόνα ὑπὸ καμά-
8 του πίπτει σὺν τῷ διώκοντι. Ἀπολλώνιος δὲ ἐν τοῖς

2. τὸν *Aeg.*: τῶν A 5. ἐπειδὴ *Br.*: ἐπειδὰν EA παρετίθετο EA: παρατίθοιτο *Hr.* 12. ἥρπασαν *E: ἥρπαζον A (Epit. Vat. p. 86) 16. ὅταν E: ὅτε ἂν A 18. κατὰ Πελοπόννησον EA, del. *He.* 21. Hesiod. frg. 80 Rz. 21 s. Ἡσίοδος — Ὠκυπόδην del. *He.* 22. κατὰ EA: παρὰ *Fab.* 25. ἠιόνα E *C* ἠιόνια R^{a} *B*: ἠόνα *Br.* 26. Apoll. Rhod. II 284 ss.

Ἀργοναύταις ἕως Στροφάδων νήσων φησὶν αὐτὰς διω-
χθῆναι καὶ μηδὲν παθεῖν, δούσας ὅρκον τὸν Φινέα
μηκέτι ἀδικῆσαι.
124 ἀπαλλαγεὶς δὲ τῶν ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν 22
πλοῦν τοῖς Ἀργοναύταις, καὶ περὶ τῶν συμπληγάδων
ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν. ἦσαν δὲ ὑπερ- 2
μεγέθεις αὗται, συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς
τῶν πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέ-
κλειον. ἐφέρετο δὲ πολλὴ μὲν ὑπὲρ αὐτῶν ὁμίχλη
πολὺς δὲ πάταγος, ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς
125 δι' αὐτῶν διελθεῖν. εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα 3
διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν,
διαπλεῖν καταφρονοῦντας, ἐὰν δὲ ἀπολλυμένην, μὴ πλεῖν
βιάζεσθαι. ταῦτα ἀκούσαντες ἀνήγοντο, καὶ ὡς πλη- 4
σίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρῴρας πελειάδα·
τῆς δὲ ἱπταμένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν
πετρῶν ἀπέθρισεν. ἀναχωρούσας οὖν ἐπιτηρήσαντες 5
τὰς πέτρας μετ' εἰρεσίας εὐτόνου, συλλαβομένης Ἥρας,
διῆλθον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νεὼς περικοπεί-
126 σης. αἱ μὲν οὖν συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν
γὰρ ἦν αὐταῖς νεὼς περαιωθείσης στῆναι παντελῶς.
οἱ δὲ Ἀργοναῦται πρὸς Μαριανδυνοὺς παρεγένοντο, 23
κἀκεῖ φιλοφρόνως ὁ βασιλεὺς ὑπεδέξατο Λύκος. ἔνθα
θνήσκει μὲν Ἴδμων ὁ μάντις πλήξαντος αὐτὸν κάπρου,

6. τῶν κατὰ ⟨τὴν add. E⟩ θάλασσαν E A, del. *Fab.* 9. ἐφέρετο E A: ἀνεφέρετο · ὑπ' E A, corr. *Br.*, ἀπ' *Clavierius* 11. διελθεῖν *E: ἐλθεῖν A (conf. Epit. Vat. p. 92) 13. ἀπολλυμένην *E A ἀπολομένην edd. (conf. Epit. Vat. p. 93) 14. ἀκούσαντες ἀνήγοντο E: ἀνήγοντο ἀκούσαντες A 16. ἱπταμένης E A: διιπταμένης *Hr.* 17. ἀπέθριξεν E, correxi * coll. Apoll. Rhod. II 601: ἀπεθέρισεν A 18. εὐτόνου *E: ἐντόνου A συλλαμβανομένης E 19. 21. νεὼς E: νηὸς A 22. μαριανδηνοὺς A, corr. *Aeg.* 24. Ἴδμων] deest in catalogo

*θνήσκει δὲ καὶ Τῖφυς, καὶ τὴν ναῦν Ἀγκαῖος ὑπισχνεῖ-
ται κυβερνᾶν.*

2 *παραπλεύσαντες δὲ Θερμώδοντα καὶ Καύκασον ἐπὶ* 127
*Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστιν. ἐγ-
καθορμισθείσης δὲ τῆς νεὼς ἧκε πρὸς Αἰήτην Ἰάσων,
καὶ τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων παρεκάλει δοῦναι*
3 *τὸ δέρας αὐτῷ· ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκό-
ποδας ταύρους μόνος καταζεύξῃ. ἦσαν δὲ ἄγριοι παρ'* 128
*αὐτῷ ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαί-
στου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομά-*
4 *των ἐφύσων. τούτους αὐτῷ ζεύξαντι ἐπέτασσε σπεί-
ρειν δράκοντος ὀδόντας· εἶχε γὰρ λαβὼν παρ' Ἀθηνᾶς
τοὺς ἡμίσεις ὧν Κάδμος ἔσπειρεν ἐν Θήβαις. ἀπορουν-* 129
τος δὲ τοῦ Ἰάσονος πῶς ἂν δύναιτο τοὺς ταύρους κατα-
5 *ζεῦξαι, Μήδεια αὐτοῦ ἔρωτα ἴσχει· ἦν δὲ αὕτη θυγά-
τηρ Αἰήτου καὶ Εἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς. δεδοι-
κυῖα δὲ μὴ πρὸς τῶν ταύρων διαφθαρῇ, κρύφα τοῦ
πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν
ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ
αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται.*
6 *ὀμόσαντος δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευ-* 130
*γνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε
ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα*

4. *φάσιν* EA 4 s. *ἐστιν· ἐγκαθορμισθείσης* *E: *ἐστι γῆς· καθορμισθείσης* A 5. *νεὼς* E: *νηὸς* A 5 ss. conf. Zenob. IV 93 5. *ἧκε*] *καὶ* add. EA, del. *He.* 7. *δὲ* add. E 8. *ἄγριοι* EA, del. *He.* 9. *αὐτῷ* E: *αὐτῶν* A *αὐτῷ*] *οὗτοι* add. EA, del. *He.* 11. *ἐπέτασσε* E: *ἐπετάσσετο* A 16. *εἰδυίας* *E Tzetz. Lycophr. 798. 1011 (Apoll. Rhod. III 243): *εἰδυῖα* A, *Ἰδυίας Aeg.* *τῆς* E: *τοῖς* A *φαρμακὶς* ER[a]: *φαρμάκοις* A 18. *πρὸς*] **incip. R fol. 24[r]** 19. *ἐγχειριεῖν* ER[a]: *ἐγχειριεῖ* A 20. *καὶ — ἀγάγηται* EA Zenob., del. *Hr.*, sed. conf. Comm. Ribb. p. 149

ἔφη πρὸς μίαν ἡμέραν μήτ' ἂν ὑπὸ πυρὸς ἀδικηθήσε-
σθαι μήτε ὑπὸ σιδήρου. ἐδήλωσε δὲ αὐτῷ σπειρομένων 7
τῶν ὀδόντων ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ'
αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν ἐπειδὰν ἀθρόους
θεάσηται, βάλλειν εἰς μέσον λίθους ἄποθεν, ὅταν δὲ
ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν
131 αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ 8
φαρμάκῳ, παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος ἐμά-
στευε τοὺς ταύρους, καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας
αὐτοὺς κατέζευξε. σπείραντος δὲ αὐτοῦ τοὺς ὀδόντας 9
ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ ὅπου πλεί-
ονας ἑώρα, βάλλων ἀφανῶς λίθους, πρὸς αὐτοὺς μαχο-
132 μένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. καὶ κατεζευγ- 10
μένων τῶν ταύρων οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο
δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέ-
οντας. φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ 11
τὸ δέρας ἤγαγε, καὶ τὸν φυλάσσοντα δράκοντα κατα-
κοιμίσασα τοῖς φαρμάκοις μετὰ Ἰάσονος, ἔχουσα τὸ
δέρας, ἐπὶ τὴν Ἀργὼ παρεγένετο. συνείπετο δὲ αὐτῇ
καὶ ὁ ἀδελφὸς Ἄψυρτος. οἱ δὲ νυκτὸς μετὰ τούτων
ἀνήχθησαν.

133 Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμημένα 24
ὥρμησε τὴν ναῦν διώκειν. ἰδοῦσα δὲ αὐτὸν πλησίον
ὄντα Μήδεια τὸν ἀδελφὸν φονεύει καὶ μελίσασα κατὰ
τοῦ βυθοῦ ῥίπτει. συναθροίζων δὲ Αἰήτης τὰ τοῦ 2

1. ἂν EA, del. *Hr.* 4. οὓς ERR[a]: ἃς A ἔλεγεν EA, del *Hr.* ἀθρόως EA, corr. *Verheyckius* 5. θεάσοιτο E βάλλειν ER: βάλλῃ A ἄποθεν EA: ἄπωθεν *Hr.* 8. ἐμάστευε EA, corr. *He.* 10. σπείραντος E: σπείροντος A 11. ἀνέτελλον EV: ἀνέτελον A 12. ἀφανῶς E: ἀφανεῖς A, del. *Hr.* 13. καταζευγνυμένων EA, corr. *Fab.* 17. κατακοιμήσασα N 19. παρεγένετο EA: παραγίνεται Zenob. 20. μετὰ τούτων νυκτὸς *C* 25. τοῦ * add. EZenob.

παιδὸς μέλη τῆς διώξεως ὑστέρησε· διόπερ ὑποστρέψας,
καὶ τὰ σωθέντα τοῦ παιδὸς μέλη θάψας, τὸν τόπον
3 προσηγόρευσε Τόμους. πολλοὺς δὲ τῶν Κόλχων ἐπὶ
τὴν ζήτησιν τῆς Ἀργοῦς ἐξέπεμψεν, ἀπειλήσας, εἰ μὴ
Μήδειαν ἄξουσιν, αὐτοὺς πείσεσθαι τὰ ἐκείνης. οἱ δὲ
σχισθέντες ἄλλος ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο.

4 τοῖς δὲ Ἀργοναύταις τὸν Ἠριδανὸν ποταμὸν ἤδη 134
παραπλέουσι Ζεὺς μηνίσας ὑπὲρ τοῦ φονευθέντος Ἀψύρ-
του χειμῶνα λάβρον ἐπιπέμψας ἐμβάλλει πλάνην. καὶ
αὐτῶν τὰς Ἀψυρτίδας νήσους παραπλεόντων ἡ ναῦς
φθέγγεται μὴ λήξειν τὴν ὀργὴν τοῦ Διός, ἐὰν μὴ πορευ-
θέντες εἰς τὴν Αὐσονίαν τὸν Ἀψύρτου φόνον καθαρ-
5 θῶσιν ὑπὸ Κίρκης. οἱ δὲ παραπλεύσαντες τὰ Λιγύων
καὶ Κελτῶν ἔθνη, καὶ διὰ τοῦ Σαρδονίου πελάγους
διακομισθέντες, παραμειψάμενοι Τυρρηνίαν ἦλθον εἰς
Αἰαίην, ἔνθα Κίρκης ἱκέται γενόμενοι καθαίρονται.

25 παραπλεόντων δὲ Σειρῆνας αὐτῶν, Ὀρφεὺς τὴν 135
ἐναντίαν μοῦσαν μελῳδῶν τοὺς Ἀργοναύτας κατέσχε.
μόνος δὲ Βούτης ἐξενήξατο πρὸς αὐτάς, ὃν ἁρπάσασα
Ἀφροδίτη ἐν Λιλυβαίῳ κατῴκισε.

2 μετὰ δὲ τὰς Σειρῆνας τὴν ναῦν Χάρυβδις ἐξεδέχετο 136
καὶ Σκύλλα καὶ πέτραι πλαγκταί, ὑπὲρ ὧν φλὸξ πολλὴ
καὶ καπνὸς ἀναφερόμενος ἑωρᾶτο. ἀλλὰ διὰ τούτων

2. βάψας *BC* 5. ἕξουσιν *B* 6. σχισθέντες *ER: σχε-θέντες A 7. δὲ add. ER 8. ζεὺς μηνίσας *E: μηνίσας ζεὺς R μηνίσας δὲ ζεὺς A 10. συρτίδας EE **Tzetz. Lycophr. 175**, corr. *Aeg.* 11. ἐὰν *He.*: εἰ EA 13. λιβύων EA, corr. *Scaliger* 14. σαρδωνίου *BC* 15. διακομισθέντες *E: κομι-σθέντες A 16. αἰαίην *ERR^a *C* αἴην *B*: Αἰαίαν edd. κίρ-κης *EA: κίρκῃ edd. 20. λιλυβαίῳ *C*: λιβαίῳ ERR^a λυβαίῳ *B* 22. σκύλλα ER^a: σκύλα A πέτραι] κυαναῖ add. E, κυάνεαι A, del. *Aeg.* πλακταὶ RR^a

διεκόμισε τὴν ναῦν σὺν Νηρηίσι Θέτις παρακληθεῖσα
ὑπὸ Ἥρας.
187 παραμειψάμενοι δὲ Θρινακίαν νῆσον Ἡλίου βόας 3
ἔχουσαν εἰς τὴν Φαιάκων νῆσον Κέρκυραν ἧκον, ἧς βα-
σιλεὺς ἦν Ἀλκίνοος. τῶν δὲ Κόλχων τὴν ναῦν εὑρεῖν
μὴ δυναμένων οἱ μὲν τοῖς Κεραυνίοις ὄρεσι παρῴκησαν,
οἱ δὲ εἰς τὴν Ἰλλυρίδα κομισθέντες ἔκτισαν Ἀψυρτίδας
νήσους· ἔνιοι δὲ πρὸς Φαίακας ἐλθόντες τὴν Ἀργὼ 4
κατέλαβον καὶ τὴν Μήδειαν ἀπῄτουν παρ' Ἀλκινόου.
188 ὁ δὲ εἶπεν, εἰ μὲν ἤδη συνελήλυθεν Ἰάσονι, δώσειν
αὐτὴν ἐκείνῳ, εἰ δ' ἔτι παρθένος ἐστί, τῷ πατρὶ ἀπο-
πέμψειν. Ἀρήτη δὲ ἡ Ἀλκινόου γυνὴ φθάσασα Μή- 5
δειαν Ἰάσονι συνέζευξεν· ὅθεν οἱ μὲν Κόλχοι μετὰ
Φαιάκων κατῴκησαν, οἱ δὲ Ἀργοναῦται μετὰ τῆς Μη-
δείας ἀνήχθησαν.
189 πλέοντες δὲ νυκτὸς σφοδρῷ περιπίπτουσι χειμῶνι. 26
Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δειράς, τοξεύσας
τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραψεν. οἱ δὲ πλησίον
ἐθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι
προσορμισθέντες Ἀνάφην ἐκάλεσαν. ἱδρυσάμενοι δὲ 2
βωμὸν Ἀπόλλωνος αἰγλήτου καὶ θυσιάσαντες ἐπ' εὐω-
χίαν ἐτράπησαν. δοθεῖσαι δ' ὑπὸ Ἀρήτης Μηδείᾳ δώ-
δεκα θεράπαιναι τοὺς ἀριστέας ἔσκωπτον μετὰ παιγνίας·

1. νηρηίσι A: ἐρέταις E Θέτις add. E 3. βοῦς EA, correxi * (conf. praefat.) 6. Κεραυνίοις Tzetz. *Gal.*: κερκυραίοις A κερκυραίων E 7. Ἰλλυρίδα Tzetz. *Gal.*: ἀλμυρίδα EA ⟨τὰς⟩ Ἀψυρτίδας *Hr.* 10 s. δώσειν αὐτὴν EA: ἐάσειν *Cobetus* Mnemos. n. s. VIII p. 400 11. ἀποπέμψειν E: ἀντιπέμψειν A 16. πλέοντες] R fol. 24v 17. Μελαντίους Apoll. Rhod. IV 1707 *Gal.* Μελαντείους *Hr.*: μενοιτίου A δορὰς B, δειράδας *Hr.* 18. κατέστραψεν R κατέστρεψεν A, corr. *Gal.* 21. αἰγλήτου Apoll. Rhod. IV 1716 *Fab.*: αἰγαίου A

ὅθεν ἔτι καὶ νῦν ἐν τῇ θυσίᾳ σύνηθές ἐστι σκώπτειν
ταῖς γυναιξίν.
3 ἐντεῦθεν ἀναχθέντες κωλύονται Κρήτῃ προσίσχειν 140
ὑπὸ Τάλω. τοῦτον οἱ μὲν τοῦ χαλκοῦ γένους εἶναι
λέγουσιν, οἱ δὲ ὑπὸ Ἡφαίστου Μίνωι δοθῆναι· ὃς ἦν
χαλκοῦς ἀνήρ, οἱ δὲ ταῦρον αὐτὸν λέγουσιν. εἶχε δὲ
φλέβα μίαν ἀπὸ αὐχένος κατατείνουσαν ἄχρι σφυρῶν·
κατὰ δὲ τὸ τέρμα τῆς φλεβὸς ἧλος διήρειστο χαλκοῦς.
4 οὗτος ὁ Τάλως τρὶς ἑκάστης ἡμέρας τὴν νῆσον περιτρο- 141
χάζων ἐτήρει· διὸ καὶ τότε τὴν Ἀργὼ προσπλέουσαν
θεωρῶν τοῖς λίθοις ἔβαλλεν. ἐξαπατηθεὶς δὲ ὑπὸ Μη-
5 δείας ἀπέθανεν, ὡς μὲν ἔνιοι λέγουσι, διὰ φαρμάκων
αὐτῷ μανίαν Μηδείας ἐμβαλούσης, ὡς δέ τινες, ὑποσχο-
μένης ποιήσειν ἀθάνατον καὶ τὸν ἧλον ἐξελούσης,
ἐκρυέντος τοῦ παντὸς ἰχῶρος αὐτὸν ἀποθανεῖν. τινὲς
δὲ αὐτὸν τοξευθέντα ὑπὸ Ποίαντος εἰς τὸ σφυρὸν
τελευτῆσαι λέγουσι.
6 μίαν δὲ ἐνταῦθα νύκτα μείναντες Αἰγίνῃ προσ- 142
ίσχουσιν ὑδρεύσασθαι θέλοντες, καὶ γίνεται περὶ τῆς
ὑδρείας αὐτοῖς ἅμιλλα. ἐκεῖθεν δὲ διὰ τῆς Εὐβοίας
καὶ τῆς Λοκρίδος πλεύσαντες εἰς Ἰωλκὸν ἦλθον, τὸν
πάντα πλοῦν ἐν τέτταρσι μησὶ τελειώσαντες.
27 Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργο- 143
ναυτῶν τὸν Αἴσονα κτείνειν ἤθελεν· ὁ δὲ αἰτησάμενος

1. θυσίᾳ] ταύτῃ add. *Hr.* 4. ταλὼ R R^{a} *C* 5. μίνω R R^{a} P: μίνῳ R^{b} *C* δοθῆναι] εἰς φυλακὴν τῆς νήσου Κρήτης add. **Zenob. V 85** 5 s. ὃς ἦν — λέγουσιν del. *Hr.* 8. δέρμα A Zenob., corr. *Fab.* διήρειστο R Zenob.: διήριστο A; διερήρειστο *Hr.* 13. αὐτῷ A: αὐτῆς Zenob., qui omisit Μηδείας Μηδείας del. *Hr.* 15. ἐκρυέντος — ἐξελούσης del. *Hr.* 16. αὐτὸν, quod erat post ἀθάνατον, cum Zenobio huc transposui * 22. τέτρασι E A **Tzetz. Lycophr. 75**, corr. *Gal.*

ἑαυτὸν ἀνελεῖν θυσίαν ἐπιτελῶν ἀδεῶς τοῦ ταυρείου
σπασάμενος αἵματος ἀπέθανεν. ἡ δὲ Ἰάσονος μήτηρ 2
ἐπαρασαμένη Πελίᾳ, νήπιον ἀπολιποῦσα παῖδα Πρό-
μαχον ἑαυτὴν ἀνήρτησε· Πελίας δὲ καὶ τὸν αὐτῇ κατα-
λειφθέντα παῖδα ἀπέκτεινεν. ὁ δὲ Ἰάσων κατελθὼν 3
τὸ μὲν δέρας ἔδωκε, περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν
144 ἐθέλων καιρὸν ἐξεδέχετο. καὶ τότε μὲν εἰς Ἰσθμὸν
μετὰ τῶν ἀριστέων πλεύσας ἀνέθηκε τὴν ναῦν Ποσει-
δῶνι, αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν ὅπως Πελίας 4
αὐτῷ δίκας ὑπόσχῃ. ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου
παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα
κρεουργῆσαι καὶ καθεψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγ-
γελλομένη ποιήσειν νέον· καὶ τοῦ πιστεῦσαι χάριν κριὸν
μελίσασα καὶ καθεψήσασα ἐποίησεν ἄρνα. αἱ δὲ πιστεύ- 5
σασαι τὸν πατέρα κρεουργοῦσι καὶ καθέψουσιν. Ἄκα-
στος δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα
θάπτει, τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ
ἐκβάλλει.

145 οἱ δὲ ἧκον εἰς Κόρινθον, καὶ δέκα μὲν ἔτη διετέ- 28
λουν εὐτυχοῦντες, αὖθις δὲ τοῦ τῆς Κορίνθου βασιλέως
Κρέοντος τὴν θυγατέρα Γλαύκην Ἰάσονι ἐγγυῶντος,
παραπεμψάμενος Ἰάσων Μήδειαν ἐγάμει. ἡ δέ, οὓς τε 2
ὤμοσεν Ἰάσων θεοὺς ἐπικαλεσαμένη καὶ τὴν Ἰάσονος

1. ⟨αὐτὸς⟩ ἑαυτὸν *Hr.* θυσίας EA, corr. *He.* 1s. ταυρείου σπασάμενος αἵματος *E: ταύρου αἷμα σπασάμενος A 3. πελίᾳ E: πελίαν A παῖδα] ὡς πρὸς πόλεμον add. EA, om. Tzetz. *Gal.* 4. αὐτῇ * add. E καταλειφθέντα del. *Hr.* 5. ἀπέκτειεν] αὐτῆς add. A, om. E 6. δέρος RR[a] ⟨αὐτῷ⟩ ἔδωκε *Mendelssohnius* Act. soc. phil. Lips. II p. 451 9. ζητεῖν EA, om. Zenob. IV 92 10. ὑπόσχῃ EA: ὑφέξει Zenob. *Hr.* 13. ποιήσειν EA: ποιῆσαι Zenob. πιστεῦσαι EA Zenob.: πιστῶσαι *Fab.* 15. τὸν — καθέψουσι EA: τὸν πατέρα εἰς λέβητα ζέοντα ἐμβαλοῦσαι καθέψουσι Zenob. Ἄκαστος Tzetz. *Aeg.*: ἄδραστος EA

ἀχαριστίαν μεμψαμένη πολλάκις, τῇ μὲν γαμουμένῃ
πέπλον μεμαγμένον φαρμάκοις ἔπεμψεν, ὃν ἀμφιεσα-
μένη μετὰ τοῦ βοηθοῦντος πατρὸς πυρὶ λάβρῳ κατε-
φλέχθη, τοὺς δὲ παῖδας οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρ- 146
3 μερον καὶ Φέρητα, ἀπέκτεινε, καὶ λαβοῦσα παρὰ Ἡλίου
ἅρμα πτηνῶν δρακόντων ἐπὶ τούτου φεύγουσα ἦλθεν
εἰς Ἀθήνας. λέγεται δὲ ⟨καὶ⟩ ὅτι φεύγουσα τοὺς
παῖδας ἔτι νηπίους ὄντας κατέλιπεν, ἱκέτας καθίσασα
ἐπὶ τὸν βωμὸν τῆς Ἥρας τῆς ἀκραίας· Κορίνθιοι δὲ
αὐτοὺς ἀναστήσαντες κατετραυμάτισαν.
4 Μήδεια δὲ ἧκεν εἰς Ἀθήνας, κἀκεῖ γαμηθεῖσα Αἰ- 147
γεῖ παῖδα γεννᾷ Μῆδον. ἐπιβουλεύουσα δὲ ὕστερον
Θησεῖ φυγὰς ἐξ Ἀθηνῶν μετὰ τοῦ παιδὸς ἐκβάλλεται.
ἀλλ' οὗτος μὲν πολλῶν κρατήσας βαρβάρων τὴν ὑφ'
ἑαυτὸν χώραν ἅπασαν Μηδίαν ἐκάλεσε, καὶ στρατευό-
5 μενος ἐπὶ Ἰνδοὺς ἀπέθανε· Μήδεια δὲ εἰς Κόλχους
ἦλθεν ἄγνωστος, καὶ καταλαβοῦσα Αἰήτην ὑπὸ τοῦ
ἀδελφοῦ Πέρσου τῆς βασιλείας ἐστερημένον, κτείνασα
τοῦτον τῷ πατρὶ τὴν βασιλείαν ἀποκατέστησεν.

1. πολλάκις E A: πολλὰ *Hr.* 2. μεμαγμένον *E: μεμαγευμένον A (δῶρα φαρμάκοις κεχριμένα Diod. IV 54, 6) φαρμάκοις *ER: φάρμακον A ἀμφιεσαμένη EPV: ἀμφιασαμένη A 3. κατεφλέχθη *E: καταφλέγει A; erat fortasse κατεφλέγη 4. τούς τε E A, corr. *He.* 4 s. μέρμερον ὑφέρητα R[a] μέρμεριν ἠφέρητα *C* 6. πτηνῶν E *C*: πτηνὸν R R *B* 7. καὶ add. *He.* 9. ἀκρείας E ἀκρίας A, corr. *Aeg.* 13. φυγὰς] R fol. 25[r] φυγὰς del. *Mendelssohnius* Act. soc. phil. Lips. IV p. 332 15. μηδίαν E: μήδειαν A Tzetz. 19. ἀποκατέστησεν E ἀπεκατέστησεν R R[a]: κατέστησεν *B C*

II.

Ἐπειδὴ δὲ τὸ τοῦ Δευκαλίωνος διεξεληλύθαμεν 1
γένος, ἐχομένως λέγωμεν τὸ Ἰνάχειον.
Ὠκεανοῦ καὶ Τηθύος γίνεται παῖς Ἴναχος, ἀφ' οὗ 2
ποταμὸς ἐν Ἄργει Ἴναχος καλεῖται. τούτου καὶ Μελίας
τῆς Ὠκεανοῦ Φορωνεύς τε καὶ Αἰγιαλεὺς παῖδες ἐγέ-
νοντο. Αἰγιαλέως μὲν οὖν ἄπαιδος ἀποθανόντος ἡ 3
χώρα ἅπασα Αἰγιάλεια ἐκλήθη, Φορωνεὺς δὲ ἁπάσης
τῆς ὕστερον Πελοποννήσου προσαγορευθείσης δυνα-
στεύων ἐκ Τηλεδίκης νύμφης Ἆπιν καὶ Νιόβην ἐγέν-
2 *νησεν. Ἆπις μὲν οὖν εἰς τυραννίδα τὴν ἑαυτοῦ μετα-* 4
στήσας δύναμιν καὶ βίαιος ὢν τύραννος, ὀναμάσας ἀφ'
ἑαυτοῦ τὴν Πελοπόννησον Ἀπίαν, ὑπὸ Θελξίονος καὶ
Τελχῖνος ἐπιβουλευθεὶς ἄπαις ἀπέθανε, καὶ νομισθεὶς
θεὸς ἐκλήθη Σάραπις· Νιόβης δὲ καὶ Διός (ᾗ πρώτῃ 5
γυναικὶ Ζεὺς θνητῇ ἐμίγη) παῖς Ἄργος ἐγένετο, ὡς
δὲ Ἀκουσίλαός φησι, καὶ Πελασγός, ἀφ' οὗ κληθῆναι
τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Πελασγούς. Ἡσίοδος
3 *δὲ τὸν Πελασγὸν αὐτόχθονά φησιν εἶναι. ἀλλὰ περὶ* 2

2. *λέγομεν* A, corr. *Aeg.* *ἰνάχειον* O edd. recc.: *ἰνάχιον* A 4. *μελίας* Tzetz. Lycophr. 177 *Gal.*: *μελίσσης* A 7. *πάσης* *Hr.* 8 ss. *πελλοποννήσου* ubique R 8 s. *ἐκ τηλοδίκης* (*τῆς λοδίκης B*) *νύμφης δυναστεύων* A, transpos. *Scaliger* 9. *τηλοδίκης* A Tzetz. schol. Plat. Tim. p. 22 a (conf. *G. Hermanni* Opusc. II p. 203) *νεόβην* RR[a] 11. *καὶ — τύραννος* del. *Siebelis* 14. *Διὸς δὲ καὶ Νιόβης He.*, *καὶ Διὸς* del. *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429 15. *ἐσμίγη* A 16. Acusil. frg. 12 17. Hesiod. frg. 70 Rz.

μὲν τούτου πάλιν ἐροῦμεν· Ἄργος δὲ λαβὼν τὴν βασιλείαν ἀφ' ἑαυτοῦ τὴν Πελοπόννησον ἐκάλεσεν Ἄργος, καὶ γήμας Εὐάδνην τὴν Στρυμόνος καὶ Νεαίρας ἐτέκνωσεν Ἔκβασον Πείραντα Ἐπίδαυρον Κρίασον, ὃς καὶ τὴν βασιλείαν παρέλαβεν.
2 Ἐκβάσου δὲ Ἀγήνωρ γίνεται, τούτου δὲ Ἄργος ὁ 4
πανόπτης λεγόμενος. εἶχε δὲ οὗτος ὀφθαλμοὺς μὲν ἐν
παντὶ τῷ σώματι, ὑπερβάλλων δὲ δυνάμει τὸν μὲν τὴν
Ἀρκαδίαν λυμαινόμενον ταῦρον ἀνελὼν τὴν τούτου
3 δορὰν ἠμφιέσατο, Σάτυρον δὲ τοὺς Ἀρκάδας ἀδικοῦντα
καὶ ἀφαιρούμενον τὰ βοσκήματα ὑποστὰς ἀπέκτεινε. λέγεται δὲ ὅτι καὶ τὴν Ταρτάρου καὶ Γῆς Ἔχιδναν, ἣ τοὺς παριόντας συνήρπαζεν, ἐπιτηρήσας κοιμωμένην ἀπέκτεινεν. ἐξεδίκησε δὲ καὶ τὸν Ἄπιδος φόνον, τοὺς αἰτίους ἀποκτείνας.
3 Ἄργου δὲ καὶ Ἰσμήνης τῆς Ἀσωποῦ παῖς Ἴασος, 5
οὗ φασιν Ἰὼ γενέσθαι. Κάστωρ δὲ ὁ συγγράψας τὰ
χρονικὰ καὶ πολλοὶ τῶν τραγικῶν Ἰνάχου τὴν Ἰὼ λέ-
γουσιν· Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτὴν
2 φασιν εἶναι. ταύτην ἱερωσύνην τῆς Ἥρας ἔχουσαν
Ζεὺς ἔφθειρε. φωραθεὶς δὲ ὑφ' Ἥρας τῆς μὲν κόρης ἁψάμενος εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀπωμόσατο δὲ ταύτῃ μὴ συνελθεῖν· διό φησιν Ἡσίοδος οὐκ ἐπι-

1. *πάλιν ἐροῦμεν*] III 96 *λαβὼν*] *παρὰ Φορωνέως* add. A, del. *He.* *τὴν τοῦ Φορωνέως βασιλείαν Siebelis* 4. *ἔκασσον* RR^a *C* (*ἴσως ἔκβασον* L man. 2 marg.), *ἄκασσον B* 6. *ἐκβάσσου* R 8. *τῷ* add. RR^a 9. *καρδίαν* R^a *B* 10. *ἠμφιάσατο* ERR^a *C* 12. *ὅτι* add. ER 14. *ὄπιδος* ERR^a *C* 16. *Ἶσος* A, corr. *Aeg.* 17. *φησὶν* A, corr. *Aeg.* Castor frg. 23 (Ctesiae et chronograph. fragm. ed. Müllerus p. 179) 18. *τραγικῶν*] Sophocles FTG. p. 188 19. Hesiod. frg. 4 Rz. Acusil. frg. 18 21. *δὲ* add. E 22 s. *ἀπωμόσατο δὲ ταύτην* (lege *ταύτῃ*) * E: *αὐτὴν δὲ ἀπωμόσατο* A 23. Hesiod. frg. 4 Rz.

σπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους
6 ὅρκους ὑπὲρ ἔρωτος. Ἥρα δὲ αἰτησαμένη παρὰ Διὸς 3
τὴν βοῦν φύλακα αὐτῆς κατέστησεν Ἄργον τὸν παν-
όπτην, ὃν Φερεκύδης μὲν Ἀρέστορος λέγει, Ἀσκληπιάδης
δὲ Ἰνάχου, Κέρκωψ δὲ Ἄργου καὶ Ἰσμήνης τῆς Ἀσω-
ποῦ θυγατρός· Ἀκουσίλαος δὲ γηγενῆ αὐτὸν λέγει.
οὗτος ἐκ τῆς ἐλαίας ἐδέσμευεν αὐτὴν ἥτις ἐν τῷ Μυκη- 4
7 ναίων ὑπῆρχεν ἄλσει. Διὸς δὲ ἐπιτάξαντος Ἑρμῇ
κλέψαι τὴν βοῦν, μηνύσαντος Ἱέρακος, ἐπειδὴ λαθεῖν
οὐκ ἠδύνατο, λίθῳ βαλὼν ἀπέκτεινε τὸν Ἄργον, ὅθεν
ἀργειφόντης ἐκλήθη. Ἥρα δὲ τῇ βοῒ οἶστρον ἐμβάλλει 5
ἡ δὲ πρῶτον ἧκεν εἰς τὸν ἀπ' ἐκείνης Ἰόνιον κόλπον
κληθέντα, ἔπειτα διὰ τῆς Ἰλλυρίδος πορευθεῖσα καὶ
τὸν Αἷμον ὑπερβαλοῦσα διέβη τὸν τότε μὲν καλού-
μενον πόρον Θρᾴκιον, νῦν δὲ ἀπ' ἐκείνης Βόσπορον.
8 ἀπελθοῦσα δὲ εἰς Σκυθίαν καὶ τὴν Κιμμερίδα γῆν, 6
πολλὴν χέρσον πλανηθεῖσα καὶ πολλὴν διανηξαμένη
θάλασσαν Εὐρώπης τε καὶ Ἀσίας, τελευταῖον ἧκεν εἰς
Αἴγυπτον, ὅπου τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα γεννᾷ
9 παρὰ τῷ Νείλῳ ποταμῷ Ἔπαφον παῖδα. τοῦτον δὲ 7
Ἥρα δεῖται Κουρήτων ἀφανῆ ποιῆσαι· οἱ δὲ ἠφάνισαν
αὐτόν. καὶ Ζεὺς μὲν αἰσθόμενος κτείνει Κούρητας,
Ἰὼ δὲ ἐπὶ ζήτησιν τοῦ παιδὸς ἐτράπετο. πλανωμένη
δὲ κατὰ τὴν Συρίαν ἅπασαν (ἐκεῖ γὰρ ἐμηνύετο ⟨ὅτι
ἡ⟩ τοῦ Βυβλίων βασιλέως ⟨γυνὴ⟩ ἐτιθήνει τὸν υἱόν)

4. Φερεκύδης ... Ἀσκληπιάδης *He.*: Ἀσκληπιάδης ... Φερε-κύδης A (conf. schol. Eurip. Phoen. 1116) Pherecyd. frg. 22 Asclepiad. frg. 17 (FHG. III p. 304) 5. κέκροψ A, corr. *Aeg.* Cercops] Hesiod. frg. 5 Rz. 6. Acusil. frg. 17 12. πρῶτον EA: πρῶτον μὲν *Br.* 16. ἀπελθοῦσα *E: ἐπελθοῦσα A 18. ἧκεν A: ἥει E 24. τὴν add. E ὅτι add. *Br.* 25. ἡ add. *He.* βιβλίων A, corr. *Aeg.* γυνὴ add. *Aeg.*

3 καὶ τὸν Ἔπαφον εὑροῦσα, εἰς Αἴγυπτον ἐλθοῦσα ἐγα-
μήθη Τηλεγόνῳ τῷ βασιλεύοντι τότε Αἰγυπτίων. ἱδρύ-
σατο δὲ ἄγαλμα Δήμητρος, ἣν ἐκάλεσαν Ἶσιν Αἰγύπτιοι,
καὶ τὴν Ἰὼ Ἶσιν ὁμοίως προσηγόρευσαν.
4 Ἔπαφος δὲ βασιλεύων Αἰγυπτίων γαμεῖ Μέμφιν 10
τὴν Νείλου θυγατέρα, καὶ ἀπὸ ταύτης κτίζει Μέμφιν
πόλιν, καὶ τεκνοῖ θυγατέρα Λιβύην, ἀφ' ἧς ἡ χώρα
2 Λιβύη ἐκλήθη. Λιβύης δὲ καὶ Ποσειδῶνος γίνονται
παῖδες δίδυμοι Ἀγήνωρ καὶ Βῆλος. Ἀγήνωρ μὲν οὖν
εἰς Φοινίκην ἀπαλλαγεὶς ἐβασίλευσε, κἀκεῖ τῆς μεγάλης
ῥίζης ἐγένετο γενεάρχης· ὅθεν ὑπερθησόμεθα περὶ
3 τούτου. Βῆλος δὲ ὑπομείνας ἐν Αἰγύπτῳ βασιλεύει 11
μὲν Αἰγύπτου, γαμεῖ δὲ Ἀγχινόην τὴν Νείλου θυγα-
τέρα, καὶ αὐτῷ γίνονται παῖδες δίδυμοι, Αἴγυπτος καὶ
Δαναός, ὡς δέ φησιν Εὐριπίδης, καὶ Κηφεὺς καὶ
4 Φινεὺς προσέτι. Δαναὸν μὲν οὖν Βῆλος ἐν Λιβύῃ
κατῴκισεν, Αἴγυπτον δὲ ἐν Ἀραβίᾳ, ὃς καὶ κατα-
στρεψάμενος τὴν Μελαμπόδων χώραν ⟨ἀφ' ἑαυτοῦ⟩
ὠνόμασεν Αἴγυπτον. γίνονται δὲ ἐκ πολλῶν γυναι- 12
κῶν Αἰγύπτῳ μὲν παῖδες πεντήκοντα, θυγατέρες δὲ
5 Δαναῷ πεντήκοντα. στασιασάντων δὲ αὐτῶν περὶ τῆς
ἀρχῆς ὕστερον, Δαναὸς τοὺς Αἰγύπτου παῖδας δεδοικώς,

1. ἐγαμήθη R[a]: ἐγαμήθη τε A 4. ἰὼ δὲ R 9. μὲν] R fol. 25[v] 10. τῆς del. *He.*, sed conf. Comm. Ribb. p. 136 11. γενεάρχος R ὑπερθησόμεθα] III 1 ss. 12. τούτου] λέγειν add. *Gal.* 13. Ἀγχινόην A schol. Hom. **Α 42** (ἱστορεῖ Ἀπολλόδωρος ἐν β'): Ἀγχιρόη schol. Plat. Tim. 25 b (Ἀμφιρρόη 24 e) Tzetz. Chil. VII 353 Lycophr. 583 *He.* 15. Eurip. frg. 881 N. 17. κατῴκισεν R: κατῴκησεν A ἀρραβίᾳ A ὃς καὶ A: ὃς schol. Hom., ὁ δὲ schol. Plat. καταστρεψάμενος schol. Hom. et Plat. *Gal.*: κατασκαψάμενος A 18. μελαμπόδων R schol. Plat. Zenob. II 6: μὲν λαμπάδων A ἀφ' ἑαυτοῦ * ex schol. Hom. et Plat. add. *Aeg.*

ὑποθεμένης Ἀθηνᾶς αὐτῷ ναῦν κατεσκεύασε πρῶτος
13 καὶ τὰς θυγατέρας ἐνθέμενος ἔφυγε. προσσχὼν δὲ 6
Ῥόδῳ τὸ τῆς Λινδίας ἄγαλμα Ἀθηνᾶς ἱδρύσατο. ἐν-
τεῦθεν δὲ ἧκεν εἰς Ἄργος, καὶ τὴν βασιλείαν αὐτῷ
παραδίδωσι Γελάνωρ ὁ τότε βασιλεύων ... ἀνύδρου δὲ 7
τῆς χώρας ὑπαρχούσης, ἐπειδὴ καὶ τὰς πηγὰς ἐξήρανε
Ποσειδῶν μηνίων Ἰνάχῳ διότι τὴν χώραν Ἥρας ἐμαρ-
14 τύρησεν εἶναι, τὰς θυγατέρας ὑδρευσομένας ἔπεμψε. μία 8
δὲ αὐτῶν Ἀμυμώνη ζητοῦσα ὕδωρ ῥίπτει βέλος ἐπὶ
ἔλαφον καὶ κοιμωμένου Σατύρου τυγχάνει, κἀκεῖνος
περιαναστὰς ἐπεθύμει συγγενέσθαι· Ποσειδῶνος δὲ
ἐπιφανέντος ὁ Σάτυρος μὲν ἔφυγεν, Ἀμυμώνη δὲ
τούτῳ συνευνάζεται, καὶ αὐτῇ Ποσειδῶν τὰς ἐν Λέρνῃ
15 πηγὰς ἐμήνυσεν. οἱ δὲ Αἰγύπτου παῖδες ἐλθόντες εἰς 5
Ἄργος τῆς τε ἔχθρας παύσασθαι παρεκάλουν καὶ τὰς
θυγατέρας αὐτοῦ γαμεῖν ἠξίουν. Δαναὸς δὲ ἅμα μὲν
ἀπιστῶν αὐτῶν τοῖς ἐπαγγέλμασιν, ἅμα δὲ καὶ μνησι-
κακῶν περὶ τῆς φυγῆς, ὡμολόγει τοὺς γάμους καὶ
διεκλήρου τὰς κόρας.

16 Ὑπερμνήστραν μὲν οὖν τὴν πρεσβυτέραν ἐξεῖλον 2
Λυγκεῖ καὶ Γοργοφόνην Πρωτεῖ· οὗτοι γὰρ ἐκ βασι-
λίδος γυναικὸς Ἀργυφίης ἐγεγόνεισαν Αἰγύπτῳ. τῶν 3
δὲ λοιπῶν ἔλαχον Βούσιρις μὲν καὶ Ἐγκέλαδος καὶ

1. αὐτῷ del. *Mendelssohnius* Act. soc. phil. Lips. II p. 452
2. προσσχὼν schol. Hom. *He.*: προσάγων A 3. λινδίας R: λυδίας A 5. πελάνωρ A ἐλλάνωρ schol. Hom., corr. *He.* βασιλεύων] αὐτὸς δὲ κρατήσας τῆς χώρας ἀφ᾽ ἑαυτοῦ τοὺς ἐνοικοῦντας Δαναοὺς ὠνόμασε ex schol. Hom. add. *Aeg.* *Robertus* de Apollod. bibl. p. 30 7. Ἥρας *He.*: ἀθηνᾶς A
8. ὑδρευσαμένας A, corr. *Aeg.* 11. ἀναστὰς *He.* 18. τῆς add. E Zenob. II 6 20 ss. confer catalogum Hyg. fab. 170
21. γοργοφόντην A, ex Tzetz. v. 374 corr. *Aeg.* 22. Ἀργύφης Tzetz. v. 372 *He.*

Λύκος καὶ Δαΐφρων τὰς Δαναῷ γεννηθείσας ἐξ Εὐ-
ρώπης Αὐτομάτην Ἀμυμώνην Ἀγαυὴν Σκαιήν. αὗται
δὲ ἐκ βασιλίδος ἐγένοντο Δαναῷ, ἐκ δὲ Ἐλεφαντίδος
4 *Γοργοφόνη καὶ Ὑπερμνήστρα. Ἴστρος δὲ Ἱπποδάμειαν,* 17
Χαλκώδων Ῥοδίαν, Ἀγήνωρ Κλεοπάτραν, Χαῖτος Ἀστε-
ρίαν, Διωκορυστὴς Ἱπποδάμειαν, Ἄλκης Γλαύκην,
Ἀλκμήνωρ Ἱππομέδουσαν, Ἱππόθοος Γόργην, Εὐχήνωρ
Ἰφιμέδουσαν, Ἱππόλυτος Ῥόδην. οὗτοι μὲν οἱ δέκα
ἐξ Ἀραβίας γυναικός, αἱ δὲ παρθένοι ἐξ ἁμαδρυάδων
5 *νυμφῶν, αἱ μὲν Ἀτλαντείης, αἱ δὲ ἐκ Φοίβης. Ἀγα-* 18
πτόλεμος δὲ ἔλαχε Πειρήνην, Κερκέτης δὲ Δώριον,
Εὐρυδάμας Φάρτιν, Αἴγιος Μνήστραν, Ἄργιος Εὐίπ-
πην, Ἀρχέλαος Ἀναξιβίην, Μενέμαχος Νηλώ, οἱ ⟨μὲν⟩
ἑπτὰ ἐκ Φοινίσσης γυναικός, αἱ δὲ παρθένοι Αἰθιο-
6 *πίδος. ἀκληρωτὶ δὲ ἔλαχον δι᾽ ὁμωνυμίαν τὰς Μέμφι-*
δος οἱ ἐκ Τυρίας, Κλειτὸς Κλειτήν, Σθένελος Σθενέλην,
7 *Χρύσιππος Χρυσίππην. οἱ δὲ ἐκ Καλιάδνης νηίδος* 19
νύμφης παῖδες δώδεκα ἐκληρώσαντο περὶ τῶν ἐκ

1. *Δαΐφρων* repetitur p. 56, 11: *Λαοφῶν* propos. *Hr.*, an *Λαόφρων*? 2 ss. *αὗται — Ὑπερμνήστρα* del. *He.*, sed conf. Comm. Ribb. p. 150 et Tzetz. v. 375; exspectaveris *αὗται μὲν ἐκ ⟨ταύτης τῆς⟩ βασιλίδος* . . . 4. *Ὑπερμνήστρα*] *λυγκεὺς δὲ καλύκην* (*καὶ λύκην C*) *ἔλαχεν* add. A, del. *He.* *Ἱπποδάμειαν* repetitur l. 6 5. *Κλεοπάτραν* repetitur p. 56, 4 *Χαίτης He. Χαῖρος Hr.* 6. *Ἱπποδάμειαν*] conf. l. 4: *Φιλοδάμειαν* (vel potius *Φυλοδάμειαν*) ex Paus. IV 30, 2 *He.*; an *Ἱπποθόην* (Hyg.)? *ἄλκης* *R: *ἄλκις* A 7. *ἀλκμήνωρ* ROR^a: *ἀλκμήνων BC* *ἱππόθεος BVT* 9. *ἀρραβίας* A *ἀμαδονάδων* A, corr. *Aeg.* 10. *ἐκ* del *Br.* 11. *κέρκηστις* A, corr. *Hr.*; *Κερκή-στης He.* 12. *φάρτιν* *R: *φάρτην* A; *Φάρην* vel *Φάντην He.*, *Φαιναρέτην Hr.* *αἴτιος BC* *Εὐίππην* repetitur p. 56, 5 13. *ἀνεξιβίην* A, corr. *He.* *μέναχος* A, corr. *L. Dindorfius* in thesauro *Νειλὼ Hr.* *μὲν* add. *Br.* 14. ⟨*ἐξ*⟩ *Αἰθιοπίδος Fab.* 15. ⟨*ἐκ*⟩ *Μέμφιδος Hr.* 17. *καλιάνδης* A, corr. *He.* *καὶ νηίδος* RR^{a}C, om. PR^{c}V; *νηίδος* om. R^b, *καὶ* del. *Hr.* 18. *περὶ* RN: *παρὰ* A

Πολυξοῦς νηίδος νύμφης· ἦσαν δὲ οἱ μὲν παῖδες Εὐρύλοχος Φάντης Περισθένης Ἕρμος Δρύας Ποταμὼν Κισσεὺς Αἶξος Ἴμβρος Βρομίος Πολύκτωρ Χθονίος, αἱ δὲ κόραι Αὐτονόη Θεανὼ Ἠλέκτρα Κλεοπάτρα Εὐρυδίκη Γλαυκίππη Ἀνθήλεια Κλεοδώρη Εὐίππη Ἐρατὼ
20 *Στύγνη Βρύκη. οἱ δὲ ⟨ἐκ⟩ Γοργόνος Αἰγύπτῳ γενό-* 8
μενοι ἐκληρώσαντο περὶ τῶν ἐκ Πιερίας, καὶ λαγχάνει Περίφας μὲν Ἀκταίην, Οἰνεὺς δὲ Ποδάρκην, Αἴγυπτος Διωξίππην, Μενάλκης Ἀδίτην, Λάμπος Ὠκυπέτην,
Ἴδμων Πυλάργην. †ὀκτὼ δέ εἰσι νεώτατοι· Ἴδας Ἱππο- 9
δίκην, Δαΐφρων Ἀδιάντην (αὗται δὲ ἐκ μητρὸς ἐγένοντο Ἕρσης), Πανδίων Καλλιδίκην, Ἄρβηλος Οἴμην, Ὑπέρβιος Κελαινώ, Ἱπποκορυστὴς Ὑπεριππην· οὗτοι ἐξ Ἡφαιστίνης, αἱ δὲ ἐκ Κρινοῦς.

21 *ὡς δὲ ἐκληρώσατο τοὺς γάμους, ἑστιάσας ἐγχει-* 10
ρίδια δίδωσι ταῖς θυγατράσιν. αἱ δὲ κοιμωμένους τοὺς νυμφίους ἀπέκτειναν πλὴν Ὑπερμνήστρας· αὕτη γὰρ Λυγκέα διέσωσε παρθένον αὐτὴν φυλάξαντα· διὸ
22 *καθείρξας αὐτὴν Δαναὸς ἐφρούρει. αἱ δὲ ἄλλαι τῶν* 11

1. *ναίδος* A, *νύμφης* add. *Hr.* (conf. adn. l. 4) 2. *Φάνης* *Hr.* 3. *βρόμιος* A 4. *κόραι*] *νύμφης* add. A, transpos. *Hr.* *αὐτονόη* R: *αὐγονόη* A *Κλεοπάτρα*] conf. p. 55, 5 5. *Εὐίππη*] conf. 55, 12: *Πληξίππη* *He.* *Ζευξίππη* *Hr.* *Ἐρατὼ* *RR[a] (unde corrigas apud Hyginum *Erate* in *Erato*): *ἐρωτὼ* *C* *εὐρωτὼ* *B* edd. recc. 6. *στήγνη* A, corr. *Aeg.* *καὶ βρύκη* A, *καὶ* delevi *; *Βεβρύκη* *Gal.*, sed conf. marm. Par. 15 *ἐκ* add. *He.* *γοργόνος* R: *γοργόνων* A 7. *πιερείας* A, corr. *He.* 8. *δὲ* quod erat post *Μενάλκης*, huc transposuit *Hr.* 8. *πορδάκην* RR[a]*B*V 9. *Ἀδύτην* *Aeg.* 10. *πυλάργην* (*πηλάργην* *B*) *ἴδμων*, transpos. *Hr.* *Πελάργην* *He.*; an *Πυλάρτην*? *ὀκτὼ δέ εἰσι* corruptum, nam sex sunt: *οὗτοι δέ εἰσι* *Gal.*, *οἱ δὲ* *Hr.* 11. *Δαΐφρων*] conf. p. 55, 1 12. *ἄρβυλος* *B* 13. *ὑπερίππην* R: *ὑπερίπτην* A 14. *δὲ*] explic. **R fol. 25[v]** *κρηνοῦς* *B* 15. *ἐκληρώσατο* * ex **Zenob. II 6** recepi coll. p. 54, 19: *ἐκληρώσαντο* E A 18. *γὰρ* *E Zenob.: *δὲ* A *λυγγέα* E 19. *τῶν* E: *μὲν τῶν* R[a] *τῶν μὲν* A

Δαναοῦ θυγατέρων τὰς μὲν κεφαλὰς τῶν νυμφίων ἐν τῇ Λέρνῃ κατώρυξαν, τὰ δὲ σώματα πρὸ τῆς πόλεως ἐκήδευσαν. καὶ αὐτὰς ἐκάθηραν Ἀθηνᾶ τε καὶ Ἑρμῆς
12 *Διὸς κελεύσαντος. Δαναὸς δὲ ὕστερον Ὑπερμνήστραν Λυγκεῖ συνῴκισε, τὰς δὲ λοιπὰς θυγατέρας εἰς γυμνικὸν ἀγῶνα τοῖς νικῶσιν ἔδωκεν.*

13 *Ἀμυμώνη δὲ ἐκ Ποσειδῶνος ἐγέννησε Ναύπλιον.* 23
οὗτος μακρόβιος γενόμενος, πλέων τὴν θάλασσαν, τοῖς ἐμπίπτουσιν ἐπὶ θανάτῳ ἐπυρσοφόρει. συνέβη οὖν καὶ αὐτὸν τελευτῆσαι ἐκείνῳ τῷ θανάτῳ ᾧπερ ἄλλων
14 *τελευτησάντων † ἐδυσφόρει, πρὶν τελευτῆσαι. ἔγημε δὲ ὡς μὲν οἱ τραγικοὶ λέγουσι, Κλυμένην τὴν Κατρέως, ὡς δὲ ὁ τοὺς νόστους γράψας, Φιλύραν, ὡς δὲ Κέρκωψ, Ἡσιόνην, καὶ ἐγέννησε Παλαμήδην Οἴακα Ναυσιμέδοντα.*

2 *Λυγκεὺς δὲ μετὰ Δαναὸν Ἄργους δυναστεύων ἐξ* 24
Ὑπερμνήστρας τεκνοῖ παῖδα Ἄβαντα. τούτου δὲ καὶ Ἀγλαΐας τῆς Μαντινέως δίδυμοι παῖδες ἐγένοντο Ἀκρί-
2 *σιος καὶ Προῖτος. οὗτοι καὶ κατὰ γαστρὸς μὲν ἔτι ὄντες ἐστασίαζον πρὸς ἀλλήλους, ὡς δὲ ἀνετράφησαν, περὶ τῆς βασιλείας ἐπολέμουν, καὶ πολεμοῦντες εὗρον ἀσπίδας πρῶτοι. καὶ κρατήσας Ἀκρίσιος Προῖτον Ἄργους*
3 *ἐξελαύνει. ὁ δ' ἧκεν εἰς Λυκίαν πρὸς Ἰοβάτην, ὡς δέ τινές φασι, πρὸς Ἀμφιάνακτα· καὶ γαμεῖ τὴν τούτου θυγατέρα, ὡς μὲν Ὅμηρος, Ἄντειαν, ὡς δὲ οἱ τραγι-*

5. *λυγγεῖ* E 9. *ἐδυσφόρει* A, corr. *Kuhnius* 11. *ἐδυσφόρει* corruptum, conf. Epit. Vat. p. 265 s. *πρὶν δὲ τελευτῆσαι ἔγημεν, ὡς . . .* A, correxi * 12. *τραγικοὶ*] Euripides FTG. p. 502 *καστρέως* A, corr. *He.* 13. Nost. frg. 1 Kink. *κέκροψ* A, corr. *Aeg.*: (hoc Cercopis fragmentum omiserunt Kinkelius et Rzachius) 18. *ἀγαλλίας* A, ex schol. Eurip. Or. 965 corr. *Com.* 19. *καὶ* ante *κατὰ* del. *Hr.* 25. *τραγικοί*] Euripides FTG. p. 567

*κοί, Σθενέβοιαν. κατάγει δὲ αὐτὸν ὁ κηδεστὴς μετὰ
στρατοῦ Λυκίων, καὶ καταλαμβάνει Τίρυνθα, ταύτην
αὐτῷ Κυκλώπων τειχισάντων. μερισάμενοι δὲ τὴν Ἀρ-* 4
γείαν ἅπασαν κατῴκουν, καὶ Ἀκρίσιος μὲν Ἄργους
26 *βασιλεύει, Προῖτος δὲ Τίρυνθος. καὶ γίνεται Ἀκρισίῳ* 2
*μὲν ἐξ Εὐρυδίκης τῆς Λακεδαίμονος Δανάη, Προίτῳ
δὲ ἐκ Σθενεβοίας Λυσίππη καὶ Ἰφινόη καὶ Ἰφιάνασσα.
αὗται δὲ ὡς ἐτελειώθησαν, ἐμάνησαν, ὡς μὲν Ἡσίοδός* 2
*φησιν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο, ὡς
δὲ Ἀκουσίλαος λέγει, διότι τὸ τῆς Ἥρας ξόανον ἐξηυτέ-*
27 *λισαν. γενόμεναι δὲ ἐμμανεῖς ἐπλανῶντο ἀνὰ τὴν* 3
*Ἀργείαν ἅπασαν, αὖθις δὲ τὴν Ἀρκαδίαν διελθοῦσαι
μετ' ἀκοσμίας ἁπάσης διὰ τῆς ἐρημίας ἐτρόχαζον. Με-* 4
*λάμπους δὲ ὁ Ἀμυθάονος καὶ Εἰδομένης τῆς Ἄβαντος,
μάντις ὢν καὶ τὴν διὰ φαρμάκων καὶ καθαρμῶν θερα-
πείαν πρῶτος εὑρηκώς, ὑπισχνεῖται θεραπεύειν τὰς
παρθένους, εἰ λάβοι τὸ τρίτον μέρος τῆς δυναστείας.*
28 *οὐκ ἐπιτρέποντος δὲ Προίτου θεραπεύειν ἐπὶ μισθοῖς* 5
*τηλικούτοις, ἔτι μᾶλλον ἐμαίνοντο αἱ παρθένοι καὶ
προσέτι μετὰ τούτων αἱ λοιπαὶ γυναῖκες· καὶ γὰρ αὗται
τὰς οἰκίας ἀπολιποῦσαι τοὺς ἰδίους ἀπώλλυον παῖδας
καὶ εἰς τὴν ἐρημίαν ἐφοίτων. προβαινούσης δὲ ἐπὶ* 6
*πλεῖστον τῆς συμφορᾶς, τοὺς αἰτηθέντας μισθοὺς ὁ
Προῖτος ἐδίδου. ὁ δὲ ὑπέσχετο θεραπεύειν ὅταν ἕτερον
τοσοῦτον τῆς γῆς ὁ ἀδελφὸς αὐτοῦ λάβῃ Βίας. Προῖ-*

4. *κατῴκουν καὶ* del. *He.* 5. *τίρυνθον* A 7. *καὶ Ἰφινόη* nescio quo casu omiserunt edd. recc. praeter Müllerum; nota Hesiodi versiculum: *Λυσίππη ⟨τε⟩ καὶ Ἰφινόη καὶ Ἰφιάνασσα* 8. Hesiod. frg. 52 Rz. 10. Acusil. frg. 19. 12. *Ἀρκαδίαν*] *καὶ τὴν Πελοπόννησον* add. A, del. *He.* 14. *τῆς Ἄβαντος*] Pheretis filia est I 96 16. *πρῶτον* R[a] *εὑρηκώς*] *πρῶτον* add. *B* *θεραπεύσειν He.* (conf. praefat.) 17. *λάβοι He.*: *λάβοιτο δὲ* A 24. *θεραπεύσειν He.*

τος δὲ εὐλαβηθεὶς μὴ βραδυνούσης τῆς θεραπείας αἰτη-
θείη καὶ πλεῖον, θεραπεύειν συνεχώρησεν ἐπὶ τούτοις.
7 Μελάμπους δὲ παραλαβὼν τοὺς δυνατωτάτους τῶν 29
νεανιῶν μετ' ἀλαλαγμοῦ καί τινος ἐνθέου χορείας ἐκ
8 τῶν ὀρῶν αὐτὰς εἰς Σικυῶνα συνεδίωξε. κατὰ δὲ τὸν
διωγμὸν ἡ πρεσβυτάτη τῶν θυγατέρων Ἰφινόη μετήλ-
λαξεν· ταῖς δὲ λοιπαῖς τυχούσαις καθαρμῶν σωφρονῆσαι
συνέβη. καὶ ταύτας μὲν ἐξέδοτο Προῖτος Μελάμποδι
καὶ Βίαντι, παῖδα δ' ὕστερον ἐγέννησε Μεγαπένθην.
3 Βελλεροφόντης δὲ ὁ Γλαύκου τοῦ Σισύφου, κτείνας 30
ἀκουσίως ἀδελφὸν Δηλιάδην, ὡς δέ τινές φασι Πειρῆνα,
ἄλλοι δὲ Ἀλκιμένην, πρὸς Προῖτον ἐλθὼν καθαίρεται.
2 καὶ αὐτοῦ Σθενέβοια ἔρωτα ἴσχει, καὶ προσπέμπει λό-
γους περὶ συνουσίας. τοῦ δὲ ἀπαρνουμένου, λέγει πρὸς
Προῖτον ὅτι Βελλεροφόντης αὐτῇ περὶ φθορᾶς προσ-
επέμψατο λόγους. Προῖτος δὲ πιστεύσας ἔδωκεν ἐπι-
στολὰς αὐτῷ πρὸς Ἰοβάτην κομίσαι, ἐν αἷς ἐνεγέγραπτο
3 Βελλεροφόντην ἀποκτεῖναι. Ἰοβάτης δὲ ἀναγνοὺς ἐπέ- 31
ταξεν αὐτῷ Χίμαιραν κτεῖναι, νομίζων αὐτὸν ὑπὸ τοῦ
θηρίου διαφθαρήσεσθαι· ἦν γὰρ οὐ μόνον ἑνὶ ἀλλὰ
πολλοῖς οὐκ εὐάλωτον, εἶχε δὲ προτομὴν μὲν λέοντος,
οὐρὰν δὲ δράκοντος, τρίτην δὲ κεφαλὴν μέσην αἰγός,

2. *πλέον Hr.* 4. ἀλλαλαγμοῦ *B* ἀλαγμοῦ R^a 5. εἰς (non ἐς) σικυῶνα R^a *C*: ἐκσικυῶνος *B* 6. τῶν ⟨Προίτου⟩ θυγατέρων propos. *Hr.* ἰφιόνη A, corr. *Aeg.* 10 s. ἄκων ἀνελών τινα Κορίνθιον Βέλλερον ἢ τὸν ἴδιον ἀδελφὸν . . . **Tzetz. Lycophr. 17**, ἀνελὼν Βέλλερον **Zenob. II 87** 11. Δηλιάδην **Tzetz. Chil. VII 812** *Aeg.*: ἰλιάδην A Πειρῆνα Tzetz. *Aeg.*: πείρην A Zenob. 13. προπέμπει A, corr. *Fab.* 15. προσεπέμψατο A Zenob.: προσέπεμψε *Hr.* 17. κομίσαι * ex Zenob. recepi: κομίσειν A ἀνεγέγραπτο Zenob. 18. post ἀποκτεῖναι add. Zenob.: ὁ δὲ ἀγνοῶν τὰ γεγραμμένα καθ' ἑαυτοῦ κομίζει ἀναγνοὺς Zenob. *Hr.*: ἐπιγνοὺς A 20. ἀλλὰ καὶ R^a 21. εἶχε δὲ . . .] conf. adn. p. 60, 2 22. δράκοντα *Br.* μέσην del. *Hr.*

δι' ἧς πῦρ ἀνίει. καὶ τὴν χώραν διέφθειρε, καὶ τὰ 4
βοσκήματα ἐλυμαίνετο· μία γὰρ φύσις τριῶν θηρίων
εἶχε δύναμιν. λέγεται δὲ τραφῆναι μὲν ὑπὸ Ἀμισω-
δάρου, καθάπερ εἴρηκε καὶ Ὅμηρος, γεννηθῆναι δὲ ἐκ
32 Τυφῶνος καὶ Ἐχίδνης, καθὼς Ἡσίοδος ἱστορεῖ. ἀνα- 2
βιβάσας οὖν ἑαυτὸν ὁ Βελλεροφόντης ἐπὶ τὸν Πήγασον,
ὃν εἶχεν ἵππον ἐκ Μεδούσης πτηνὸν γεγεννημένον καὶ
Ποσειδῶνος, ἀρθεὶς εἰς ὕψος ἀπὸ τούτου κατετόξευσε
τὴν Χίμαιραν. μετὰ δὲ τὸν ἀγῶνα τοῦτον ἐπέταξεν 2
αὐτῷ Σολύμοις μαχεσθῆναι. ὡς δὲ ἐτελεύτησε καὶ τοῦ-
33 τον, Ἀμαζόσιν ἐπέταξεν ἀγωνίσασθαι αὐτόν. ὡς δὲ
καὶ ταύτας ἀπέκτεινε, τοὺς τότε νεότητι Λυκίων διαφέ-
ρειν δοκοῦντας ἐπιλέξας ἐπέταξεν ἀποκτεῖναι λοχήσαν-
τας. ὡς δὲ καὶ τούτους ἀπέκτεινε πάντας, θαυμάσας 3
τὴν δύναμιν αὐτοῦ ὁ Ἰοβάτης τά τε γράμματα ἔδειξε
καὶ παρ' αὐτῷ μένειν ἠξίωσε· δοὺς δὲ αὐτῷ τὴν θυγα-
τέρα Φιλονόην καὶ θνήσκων τὴν βασιλείαν κατέλιπεν.
34 Ἀκρισίῳ δὲ περὶ παίδων γενέσεως ἀρρένων χρηστη- **4**
ριαζομένῳ ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρός,
ὃς αὐτὸν ἀποκτενεῖ. δείσας δὲ ὁ Ἀκρίσιος τοῦτο, ὑπὸ

2 s. *μία — δύναμιν*, quae verba delet *Hr.*, sic transposui Zenobium secutus: p. 59, 21 ... *οὐκ εὐάλωτον· μία γὰρ φύσις τριῶν θηρίων εἶχε δύναμιν, προτομὴν μὲν* ... Comm. Ribb. p. 148 3. δὲ] *καὶ τὴν χίμαιραν ταύτην* add. A. del. *He.* *ἀμισαδάρου* A, corr. *Aeg.* 4. Hom. *Π* 328 5. Hesiod. Theog. 319 6. *τὸν Πήγασον Aeg.*: *τὰς πηγὰς* A 10. *μαχέσασθαι Fab.* 11. *ἀγωνίσασθαι* *R[a] *B* T Zenob.: *ἀγωνίζεσθαι* L N *edd.* *αὐτὸν* om. Zenob. *Hr.* 12. *τότε νεότητι Gal.* (ex Zenob.: *τοὺς τότε ῥώμῃ νεότητος διαφέροντας*): *τε νεότητι* A, *γενναιότητι Hr.* 16 s. *δοὺς δὲ αὐτῷ* ... *κατέλιπεν* * ex Zenob. recepi: *δοὺς* ... *κατέλιπεν αὐτῷ* A 17. *φιλονόην* A Tzetz. Lycophr. 17, Chil. VII 852: *Φυλονόην Br.* (conf. III 126 adn.) 19. *ὁ θεὸς* om. *B*, *ὁ πύθιος* E *γενέσθαι* E A **Zenob. I 41 schol. Hom. *Ξ* 319** (conf. praefat.) 20. *ἀποκτενεῖ* E: *ἀποκτείνῃ* A Zenob. *δὲ ὁ* *E Zenob. schol. Hom.: *οὖν* A *τοῦτο* E A schol. Hom., om. Zenob. *Hr.*

γῆν θάλαμον κατασκευάσας χάλκεον τὴν Δανάην ἐφρού-
2 ρει. ταύτην μέν, ὡς ἔνιοι λέγουσιν, ἔφθειρε Προῖτος,
ὅθεν αὐτοῖς καὶ ἡ στάσις ἐκινήθη· ὡς δὲ ἔνιοί φασι,
Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς
3 εἰς τοὺς Δανάης εἰσρυεὶς κόλπους συνῆλθεν. αἰσθό- 35
μενος δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγεννημένον
Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι, τὴν θυγα-
τέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν ἔρριψεν εἰς
θάλασσαν. προσενεχθείσης δὲ τῆς λάρνακος Σερίφῳ
2 Δίκτυς ἄρας ἀνέθρεψε τοῦτον. βασιλεύων δὲ τῆς 36
Σερίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, Δανάης ἐρα-
σθείς, καὶ ἠνδρωμένου Περσέως μὴ δυνάμενος αὐτῇ
συνελθεῖν, συνεκάλει τοὺς φίλους, μεθ' ὧν καὶ Περσέα,
λέγων ἔρανον συνάγειν ἐπὶ τοὺς Ἱπποδαμείας τῆς Οἰνο-
2 μάου γάμους. τοῦ δὲ Περσέως εἰπόντος καὶ ἐπὶ τῇ
κεφαλῇ τῆς Γοργόνος οὐκ ἀντερεῖν, παρὰ μὲν τῶν
λοιπῶν ᾔτησεν ἵππους, παρὰ δὲ τοῦ Περσέως οὐ λαβὼν
τοὺς ἵππους ἐπέταξε τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν.
3 ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων ἐπὶ τὰς 37
Φόρκου παραγίνεται θυγατέρας, Ἐνυὼ καὶ Πεφρηδὼ
καὶ Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς τε καὶ Φόρκου,
Γοργόνων ἀδελφαί, γραῖαι ἐκ γενετῆς. ἕνα τε ὀφθαλ-
μὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον, καὶ ταῦτα παρὰ

1. *χάλκεον* E A Zenob.: *χαλκοῦν* schol. Hom. *Hr.* (conf. praefat.) 2. *καὶ ταύτην, ὡς μὲν Hr.* *ὡς ἔνιοι λέγουσιν* A: *ὥς φησι Πίνδαρος καὶ ἄλλοι τινές* schol. Hom. 8. *εἰς* A Zenob. schol. Hom.: *εἰς τὴν* E 10. *ἀνέθρεψε* *E: *ἀνέτρεφε* A Zenob. *τοῦτον* E A: *Περσέα* Zenob. *Hr.* 16. *ἀνταίρειν* A Zenob.: corr. *Aeg. He.* 18. *τὴν κεφαλὴν κομίζειν* Zenob. 20. *παραγίνεται* Zenob. *Fab.*: *γίνεται* A *καὶ* * post *Ἐνυὼ* om. Zenob. edd. recc. *μεμφρηδὼ* A, corr. *Aeg.* 21. *Δεινώ* A Zenob.: *Δινώ* *G. Hermannus* Opusc. VI p. 168 22. *τε* A: *δὲ* *He.*

μέρος ἤμειβον ἀλλήλαις. ὧν κυριεύσας ὁ Περσεύς, ὡς 4
ἀπῄτουν, ἔφη δώσειν ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν
38 ἐπὶ τὰς νύμφας φέρουσαν. αὗται δὲ αἱ νύμφαι πτηνὰ
εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν·
[Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως·

πᾶν δὲ μετάφρενον εἶχε ⟨κάρα⟩ δεινοῖο πελώρου
⟨Γοργοῦς⟩, ἀμφὶ δέ μιν κίβισις θέε.

εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.]
39 εἶχον δὲ καὶ τὴν ⟨Ἄϊδος⟩ κυνῆν. ὑφηγησαμένων δὲ τῶν 5
Φορκίδων, ἀποδοὺς τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν
αὐταῖς, καὶ παραγενόμενος πρὸς τὰς νύμφας, καὶ τυχὼν
ὧν ἐσπούδαζε, τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ
πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυνῆν τῇ
κεφαλῇ ἐπέθετο. ταύτην ἔχων αὐτὸς μὲν οὓς ἤθελεν 6
ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. λαβὼν δὲ καὶ
παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, πετόμενος εἰς τὸν
Ὠκεανὸν ἧκε καὶ κατέλαβε τὰς Γοργόνας κοιμωμένας.
40 ἦσαν δὲ αὗται Σθενὼ Εὐρυάλη Μέδουσα. μόνη δὲ 7
ἦν θνητὴ Μέδουσα· διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν
Περσεὺς ἐπέμφθη. εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν
περιεσπειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν, καὶ χεῖρας χαλκᾶς, καὶ πτέρυγας χρυσᾶς,
41 δι' ὧν ἐπέτοντο. τοὺς δὲ ἰδόντας λίθους ἐποίουν.
ἐπιστὰς οὖν αὐταῖς ὁ Περσεὺς κοιμωμέναις, κατευθυ- 8

1. ἤμειβον A Zenob.: ἐπήμειβον *He.* 3. πτηνὰ] incip. R fol. 27^{r} 4. κίοισιν (in marg. κύβισιν) *BC* φασὶν L Zenob. *He.*: φασί τινες A 5.—8. uncis inclusa om. Zenob. *Com.* Pindar. frg. 254 Bgk. Hesiod. Scut. 223 s. 6. δέ τε RR^{a} *C* δέ τι *B* 6 s. κάρα et Γοργοῦς om. A 9. τὴν ⟨Ἄϊδος⟩ κυνῆν * ex Zenob. recepi (conf. Tzetz. Lycophr. 838 p. 825 M: καὶ κυνέαν τοῦ Ἅιδου): τὴν κυνῆν A 16. εἰς A: ἐπὶ *Hr.* 18. αὗται] ἀδελφαὶ τρεῖς add. Zenob. 19. ἦν om. *C* 23. δι' ὧν ἐπέτοντο A (δι' ὧν ἐφέροντο Zenob.), del. *Hr.*

νούσης τὴν χεῖρα Ἀθηνᾶς, ἀπεστραμμένος καὶ βλέπων
εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος
9 ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. ἀποτμηθείσης δὲ τῆς 42
κεφαλῆς, ἐκ τῆς Γοργόνος ἐξέθορε Πήγασος πτηνὸς
ἵππος, καὶ Χρυσάωρ ὁ Γηρυόνου πατήρ· τούτους δὲ
3 ἐγέννησεν ἐκ Ποσειδῶνος. ὁ μὲν οὖν Περσεὺς ἐνθέ-
μενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης ὀπίσω
πάλιν ἐχώρει, αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναπτᾶσαι
τὸν Περσέα ἐδίωκον, καὶ συνιδεῖν αὐτὸν οὐκ ἠδύναντο
διὰ τὴν κυνῆν· ἀπεκρύπτετο γὰρ ὑπ' αὐτῆς.
2 παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε 43
Κηφεύς, εὗρε τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρα-
κειμένην βορὰν θαλασσίῳ κήτει. Κασσιέπεια γὰρ ἡ
Κηφέως γυνὴ Νηρηίσιν ἤρισε περὶ κάλλους, καὶ πασῶν
εἶναι κρείσσων ηὔχησεν· ὅθεν αἱ Νηρηίδες ἐμήνισαν,
καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς πλήμμυράν τε ἐπὶ
3 τὴν χώραν ἔπεμψε καὶ κῆτος. Ἄμμωνος δὲ χρήσαντος
τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας
θυγάτηρ Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά, τοῦτο
ἀναγκασθεὶς ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε, καὶ
4 προσέδησε τὴν θυγατέρα πέτρᾳ. ταύτην θεασάμενος 44
ὁ Περσεὺς καὶ ἐρασθεὶς ἀναιρήσειν ὑπέσχετο Κηφεῖ
τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν αὐτὴν αὐτῷ δώσειν
γυναῖκα. ἐπὶ τούτοις γενομένων ὅρκων, ὑποστὰς τὸ
5 κῆτος ἔκτεινε καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. ἐπιβουλεύ-
οντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως
ἐγγεγυημένος πρῶτος τὴν Ἀνδρομέδαν, μαθὼν τὴν ἐπι-

1. ἀπεστρεμμένος RBV 8. ἀναπτᾶσαι * ex Zenob. recepi: ἀναστᾶσαι A 10. ἀπεκρύπτετο — αὐτῆς del. *Hr.* 12. προκειμένην *Hr.* 27. ἐγγεγυημένος *R: ἐγγενόμενος A ἐγγυώμενος edd.

βουλήν, τὴν Γοργόνα δείξας μετὰ τῶν συνεπιβουλευ-
45 όντων αὐτὸν ἐλίθωσε παραχρῆμα. παραγενόμενος δὲ 6
εἰς Σέριφον, καὶ καταλαβὼν προσπεφευγυῖαν τοῖς
βωμοῖς μετὰ τοῦ Δίκτυος τὴν μητέρα διὰ τὴν Πολυ-
δέκτου βίαν, εἰσελθὼν εἰς τὰ βασίλεια, συγκαλέσαντος
τοῦ Πολυδέκτου τοὺς φίλους ἀπεστραμμένος τὴν κεφα-
λὴν τῆς Γοργόνος ἔδειξε· τῶν δὲ ἰδόντων, ὁποῖον ἕκα-
46 στος ἔτυχε σχῆμα ἔχων, ἀπελιθώθη. καταστήσας δὲ 7
τῆς Σερίφου Δίκτυν βασιλέα, ἀπέδωκε τὰ μὲν πέδιλα
καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ, τὴν δὲ κεφαλὴν
τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα
πάλιν ἀπέδωκε ταῖς νύμφαις, Ἀθηνᾶ δὲ ἐν μέσῃ τῇ
ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἐνέθηκε. λέγεται 8
δὲ ὑπ' ἐνίων ὅτι δι' Ἀθηνᾶν ἡ Μέδουσα ἐκαρατομήθη·
φασὶ δὲ ὅτι καὶ περὶ κάλλους ἠθέλησεν ἡ Γοργὼ αὐτῇ
συγκριθῆναι.
47 Περσεὺς δὲ μετὰ Δανάης καὶ Ἀνδρομέδας ἔσπευδεν 4
εἰς Ἄργος, ἵνα Ἀκρίσιον θεάσηται. ὁ δὲ ⟨τοῦτο μαθὼν
καὶ⟩ δεδοικὼς τὸν χρησμόν, ἀπολιπὼν Ἄργος εἰς τὴν
Πελασγιῶτιν ἐχώρησε γῆν. Τευταμίδου δὲ τοῦ Λαρι- 2
σαίων βασιλέως ἐπὶ κατοιχομένῳ τῷ πατρὶ διατιθέντος
γυμνικὸν ἀγῶνα, παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσα-
σθαι θέλων, ἀγωνιζόμενος δὲ πένταθλον, τὸν δίσκον
ἐπὶ τὸν Ἀκρισίου πόδα βαλὼν παραχρῆμα ἀπέκτεινεν

1. δήξας R 3. προσπεφευγυῖαν Tzetz. Lycophr. 838: προπεφευγυῖαν A 5. τὰ βασίλεια (compend.) R: τὸν βασιλέα A 6. ἀπεστρεμμένος A 9. ἀπέδωκε A: δίδωσι Zenob. *Hr.* 13. ἀνέθηκε A, corr. *He.* 14. δὲ *R: δὲ καὶ A ὅτι] καὶ add. A, del. *He.* δι' Ἀθηνᾶς *Fab.* 15. καὶ del. *Hr.* 17. ἔσπευδεν A Zenob. Tzetz.: ἔσπευσεν E 18. τοῦτο μαθὼν καὶ * addidi ex Zenob. 20. τευταμίδου E Tzetz.: τευταμία A λαρισαίων R[a]: λαρισσαίων E A Tzetz. 21. διατιθέντος E Zenob.: διατεθέντος A

3 αὐτόν. αἰσθόμενος δὲ τὸν χρησμὸν τετελειωμένον τὸν 48
μὲν Ἀκρίσιον ἔξω τῆς πόλεως ἔθαψεν, αἰσχυνόμενος
δὲ εἰς Ἄργος ἐπανελθεῖν ἐπὶ τὸν κλῆρον τοῦ δι' αὐτοῦ
τετελευτηκότος, παραγενόμενος εἰς Τίρυνθα πρὸς τὸν
Προίτου παῖδα Μεγαπένθην ἠλλάξατο, τούτῳ τε τὸ
4 Ἄργος ἐνεχείρισε. καὶ Μεγαπένθης μὲν ἐβασίλευσεν
Ἀργείων, Περσεὺς δὲ Τίρυνθος, προστειχίσας Μίδειαν
5 καὶ Μυκήνας. ἐγένοντο δὲ ἐξ Ἀνδρομέδας παῖδες αὐτῷ, 49
πρὶν μὲν ἐλθεῖν εἰς τὴν Ἑλλάδα Πέρσης, ὃν παρὰ
Κηφεῖ κατέλιπεν (ἀπὸ τούτου δὲ τοὺς Περσῶν βασιλέας
λέγεται γενέσθαι), ἐν Μυκήναις δὲ Ἀλκαῖος καὶ Σθέ-
νελος καὶ Ἕλειος Μήστωρ τε καὶ Ἠλεκτρύων, καὶ
θυγάτηρ Γοργοφόνη, ἣν Περιήρης ἔγημεν.
2 ἐκ μὲν οὖν Ἀλκαίου καὶ Ἀστυδαμείας τῆς Πέλοπος, 50
ὡς δὲ ἔνιοι λέγουσι Λαονόμης τῆς Γουνέως, ὡς δὲ ἄλλοι
πάλιν Ἱππονόμης τῆς Μενοικέως, Ἀμφιτρύων ἐγένετο
καὶ θυγάτηρ Ἀναξώ, ἐκ δὲ Μήστορος καὶ Λυσιδίκης
τῆς Πέλοπος Ἱπποθόη. ταύτην ἁρπάσας Ποσειδῶν καὶ
κομίσας ἐπὶ τὰς Ἐχινάδας νήσους μίγνυται, καὶ γεννᾷ
Τάφιον, ὃς ᾤκισε Τάφον καὶ τοὺς λαοὺς Τηλεβόας
3 ἐκάλεσεν, ὅτι τηλοῦ τῆς πατρίδος ἔβη. ἐκ Ταφίου δὲ 51
παῖς Πτερέλαος ἐγένετο· τοῦτον ἀθάνατον ἐποίησε
Ποσειδῶν, ἐν τῇ κεφαλῇ χρυσῆν ἐνθεὶς τρίχα. Πτερε-
λάῳ δὲ ἐγένοντο παῖδες Χρομίος Τύραννος Ἀντίοχος
Χερσιδάμας Μήστωρ Εὐήρης.

1. τετελειωμένον *R: τετελεσμένον A 4. τίρυνθα R: τίρυνθον A 6. καὶ] R fol. 27v 7. μήδειαν A Tzetz. codd. nonnulli, corr. *Aeg.* 9. Πέρσης add. R 12. Ἕλειος Tzetz. *He*: ἕλης R ἕλας Ra *C* ἕλλας *B* 14s. ἐκ μὲν — ἄλλοι add. R (conf. praefat.) 15. λαόνης R, corr. *Müllerus* 22. Πτερέλας **Tzetz. Lycophr. 932** ἀθάνατον] ἀήττητον καὶ ἀκαταγώνιστον Tzetz. 24. ἐγένοντο] θυγάτηρ Κομαιθὼ καὶ ἄρρενες ex Tzetz. add. *Aeg.* χρόμιος A Tzetz. Ἀντίοχος] Ἄμπελος Tzetz.

52 Ἠλεκτρύων δὲ γήμας τὴν Ἀλκαίου θυγατέρα Ἀναξώ, 4
ἐγέννησε θυγατέρα μὲν Ἀλκμήνην, παῖδας δὲ ⟨Στρατο-
βάτην⟩ Γοργοφόνον Φυλόνομον Κελαινέα Ἀμφίμαχον
Λυσίνομον Χειρίμαχον Ἀνάκτορα Ἀρχέλαον, μετὰ δὲ
τούτους καὶ νόθον ἐκ Φρυγίας γυναικὸς Μιδείας
Λικύμνιον.

53 Σθενέλου δὲ καὶ Νικίππης τῆς Πέλοπος Ἀλκυόνη 5
καὶ Μέδουσα, ὕστερον δὲ καὶ Εὐρυσθεὺς ἐγένετο, ὃς
καὶ Μυκηνῶν ἐβασίλευσεν. ὅτε γὰρ Ἡρακλῆς ἔμελλε
γεννᾶσθαι, Ζεὺς ἐν θεοῖς ἔφη τὸν ἀπὸ Περσέως γεννη-
θησόμενον τότε βασιλεύσειν Μυκηνῶν, Ἥρα δὲ διὰ
ζῆλον Εἰλειθυίας ἔπεισε τὸν μὲν Ἀλκμήνης τόκον ἐπι-
σχεῖν, Εὐρυσθέα δὲ τὸν Σθενέλου παρεσκεύασε γεννη-
θῆναι ἑπταμηνιαῖον ὄντα.

54 Ἠλεκτρύονος δὲ βασιλεύοντος Μυκηνῶν, μετὰ Τα- 6
φίου οἱ Πτερελάου παῖδες ἐλθόντες τὴν Μήστορος
ἀρχὴν τοῦ μητροπάτορος ἀπῄτουν, καὶ μὴ προσέχοντος
Ἠλεκτρύονος ἀπήλαυνον τὰς βόας· ἀμυνομένων δὲ τῶν
Ἠλεκτρύονος παίδων, ἐκ προκλήσεως ἀλλήλους ἀπέκτει-
ναν. ἐσώθη δὲ τῶν Ἠλεκτρύονος παίδων Λικύμνιος 2
ἔτι νέος ὑπάρχων, τῶν δὲ Πτερελάου Εὐήρης, ὃς καὶ
55 τὰς ναῦς ἐφύλασσε. τῶν δὲ Ταφίων οἱ διαφυγόντες
ἀπέπλευσαν τὰς ἐλαθείσας βόας ἑλόντες, καὶ παρέθεντο

2. θυγατέρας A, corr. *Aeg.* Στρατοβάτην * ex Tzetz. add. *Aeg.* 3. φυλόνομον *RR[a]*B* Tzetz.: φιλονόμον *C* edd. 5. μηδείας A Tzetz., corr. *Aeg. Fab.* 7. Ἀλκυόνη * ex Diod. IV 12, 7 recepi: ἀλκυνόη R ἀλκινόη A edd. 10 s. γεννηθησόμενον τότε EA: τότε γεννηθησόμενον *He.* 11. βασιλεύσειν E: βασιλεύειν A διὰ *E: διὰ τὸν A (conf. Epit. Vat. p. 98) 12. εἰλειθυίας *EA: εἰλείθυιαν edd. 15 ss. ἠλεκτρυόνος RR[ab] 17. τοῦ μητροπάτορος (compend.) R: τῷ μητροπάτωρος R[a] τῷ μητροπάτορι A προσέχοντος Tzetz. *Aeg.*: προσέχοντες A 19. προβλήσεως A, corr. *Fab.*

τῷ βασιλεῖ τῶν Ἠλείων Πολυξένῳ· Ἀμφιτρύων δὲ
παρὰ Πολυξένου λυτρωσάμενος αὐτὰς ἤγαγεν εἰς Μυ-
3 κήνας. ὁ δὲ Ἠλεκτρύων τὸν τῶν παίδων θάνατον
βουλόμενος ἐκδικῆσαι, παραδοὺς τὴν βασιλείαν Ἀμφι-
τρύωνι καὶ τὴν θυγατέρα Ἀλκμήνην, ἐξορκίσας ἵνα
μέχρι τῆς ἐπανόδου παρθένον αὐτὴν φυλάξῃ, στρατεύειν
4 ἐπὶ Τηλεβόας διενοεῖτο. ἀπολαμβάνοντος δὲ αὐτοῦ τὰς 53
βόας, μιᾶς ἐκθορούσης Ἀμφιτρύων ἐπ' αὐτὴν ἀφῆκεν
ὃ μετὰ χεῖρας εἶχε ῥόπαλον, τὸ δὲ ἀποκρουσθὲν ἀπὸ
τῶν κεράτων εἰς τὴν Ἠλεκτρύονος κεφαλὴν ἐλθὸν
5 ἀπέκτεινεν αὐτόν. ὅθεν λαβὼν ταύτην τὴν πρόφασιν
Σθένελος παντὸς Ἄργους ἐξέβαλεν Ἀμφιτρύωνα, καὶ
τὴν ἀρχὴν τῶν Μυκηνῶν καὶ τῆς Τίρυνθος αὐτὸς
κατέσχε· τὴν δὲ Μίδειαν, μεταπεμψάμενος τοὺς Πέλο-
πος παῖδας Ἀτρέα καὶ Θυέστην, παρέθετο τούτοις.
6 Ἀμφιτρύων δὲ σὺν Ἀλκμήνῃ καὶ Λικυμνίῳ παρα- 57
γενόμενος ἐπὶ Θήβας ὑπὸ Κρέοντος ἡγνίσθη, καὶ δίδωσι
τὴν ἀδελφὴν Περιμήδην Λικυμνίῳ. λεγούσης δὲ Ἀλκμή-
νης γαμηθήσεσθαι αὐτῷ τῶν ἀδελφῶν αὐτῆς ἐκδική-
σαντι τὸν θάνατον, ὑποσχόμενος ἐπὶ Τηλεβόας στρατεύει
7 Ἀμφιτρύων, καὶ παρεκάλει συλλαβέσθαι Κρέοντα. ὁ δὲ
ἔφη στρατεύσειν, ἐὰν πρότερον ἐκεῖνος τὴν Καδμείαν
τῆς ἀλώπεκος ἀπαλλάξῃ· ἔφθειρε γὰρ τὴν Καδμείαν
ἀλώπηξ θηρίον. ὑποστάντος δὲ ὅμως εἱμαρμένον ἦν

2. *Μυκήνας* Tzetz.: *μυκήνην* RR[a]*B* *μηκύνην* *C* (ut saepius in huius nominis vocalibus vacillant codices praeter R) 4. *βουλευόμενος* R (*θέλων* Tzetz.) 10. *ἐκθέον* *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429 14. *μήδειαν* A 17. *ἐπὶ* A: *εἰς* *Hr.* 19. *αὐτῷ* * *Eberhardus* l. l. coll. schol. Hom. Ξ 323. Hes. Sc. 14 ss.: *τῷ* A 20. *στρατεύειν* *C* 22. *τὴν Καδμείαν* A: *τοὺς Καδμείους* *Hr.* 23. *τὴν* A: *γῆν* *He.* 24. *ὑποστάντος δὲ ὅμως*] scil. *τινὸς* vel *αὐτοῦ* interpr. *He.*, *ὑποστάντα δὲ δρόμῳ* *Eberhardus* l. l.

58 *αὐτὴν μηδέ τινα καταλαβεῖν. ἀδικουμένης δὲ τῆς χώ-* 7
ρας, ἕνα τῶν ἀστῶν παῖδα οἱ Θηβαῖοι κατὰ μῆνα προ-
ετίθεσαν αὐτῇ, πολλοὺς ἁρπαζούσῃ, τοῦτ' εἰ μὴ γένοιτο.
ἀπαλλαγεὶς οὖν Ἀμφιτρύων εἰς Ἀθήνας πρὸς Κέφαλον 2
τὸν Δηιονέως, συνέπειθεν ἐπὶ μέρει τῶν ἀπὸ Τηλε-
βοῶν λαφύρων ἄγειν ἐπὶ τὴν θήραν τὸν κύνα ὃν
Πρόκρις ἤγαγεν ἐκ Κρήτης παρὰ Μίνωος λαβοῦσα· ἣν
δὲ καὶ τούτῳ πεπρωμένον πᾶν, ὅ τι ἂν διώκῃ, λαμβά-
59 *νειν. διωκομένης οὖν ὑπὸ τοῦ κυνὸς τῆς ἀλώπεκος,*
Ζεὺς ἀμφοτέρους λίθους ἐποίησεν. Ἀμφιτρύων δὲ 3
ἔχων ἐκ μὲν Θορικοῦ τῆς Ἀττικῆς Κέφαλον συμμα-
χοῦντα, ἐκ δὲ Φωκέων Πανοπέα, ἐκ δὲ Ἕλους τῆς
Ἀργείας Ἕλειον τὸν Περσέως, ἐκ δὲ Θηβῶν Κρέοντα,
60 *τὰς τῶν Ταφίων νήσους ἐπόρθει. ἄχρι μὲν οὖν ἔζη* 4
Πτερέλαος, οὐκ ἐδύνατο τὴν Τάφον ἑλεῖν· ὡς δὲ ἡ
Πτερελάου θυγάτηρ Κομαιθὼ ἐρασθεῖσα Ἀμφιτρύωνος
τὴν χρυσῆν τρίχα τοῦ πατρὸς ἐκ τῆς κεφαλῆς ἐξείλετο,
Πτερελάου τελευτήσαντος ἐχειρώσατο τὰς νήσους ἁπά-
σας. τὴν μὲν οὖν Κομαιθὼ κτείνει Ἀμφιτρύων καὶ 5
τὴν λείαν ἔχων εἰς Θήβας ἔπλει, καὶ τὰς νήσους Ἑλείῳ
καὶ Κεφάλῳ δίδωσι. κἀκεῖνοι πόλεις αὑτῶν ἐπωνύμους
κτίσαντες κατῴκησαν.

61 *πρὸ τοῦ δὲ Ἀμφιτρύωνα παραγενέσθαι εἰς Θήβας* 8
Ζεύς, διὰ νυκτὸς ἐλθὼν καὶ τὴν μίαν τριπλασιάσας
νύκτα, ὅμοιος Ἀμφιτρύωνι γενόμενος Ἀλκμήνῃ συνευ-

1. *αὐτῇ μὴ καταληφθῆναι* *Hr.* 3. *πολλοὺς*] **R fol. 31r** *ἁρπαζούσῃ* A, corr. *Palmerius* 5. *Δηιονέως*] *Δηιών* I 51 et 86 5 ss. *τηλεβόων* A 7. *μίνωνος* R 11. *θορίκου* A 12. *ἐλούσης* A, corr. *Aeg.* 19. *κτείνει* *RR[a]: *κτείνας* A 24 s. *τὴν μίαν τριπλασιάσας. νύκτα*] *τὴν μίαν νύκτα πενταπλασιάσας ἢ κατά τινας τριπλασιάσας, οἳ καὶ διὰ τοῦτο τριέσπερον ἀξιοῦσι λέγεσθαι τὸν Ἡρακλέα* E (conf. Lycophr. v. 33 cum Tzetz. adn., Epit. Vat. p. 98)

νάσθη καὶ τὰ γενόμενα περὶ Τηλεβοῶν διηγήσατο.
2 Ἀμφιτρύων δὲ παραγενόμενος, ὡς οὐχ ἑώρα φιλοφρο-
νουμένην πρὸς αὐτὸν τὴν γυναῖκα, ἐπυνθάνετο τὴν
αἰτίαν· εἰπούσης δὲ ὅτι τῇ προτέρᾳ νυκτὶ παραγενό-
μενος αὐτῇ συγκεκοίμηται, μανθάνει παρὰ Τειρεσίου
3 τὴν γενομένην τοῦ Διὸς συνουσίαν. Ἀλκμήνη δὲ δύο
ἐγέννησε παῖδας, Διὶ μὲν Ἡρακλέα, μιᾷ νυκτὶ πρεσβύ-
τερον, Ἀμφιτρύωνι δὲ Ἰφικλέα. τοῦ δὲ παιδὸς ὄντος 62
ὀκταμηνιαίου δύο δράκοντας ὑπερμεγέθεις Ἥρα ἐπὶ τὴν
εὐνὴν ἔπεμψε, διαφθαρῆναι τὸ βρέφος θέλουσα. ἐπι-
βοωμένης δὲ Ἀλκμήνης Ἀμφιτρύωνα, Ἡρακλῆς διανα-
στὰς ἄγχων ἑκατέραις ταῖς χερσὶν αὐτοὺς διέφθειρε.
4 Φερεκύδης δέ φησιν Ἀμφιτρύωνα, βουλόμενον μαθεῖν
ὁπότερος ἦν τῶν παίδων ἐκείνου, τοὺς δράκοντας εἰς
τὴν εὐνὴν ἐμβαλεῖν, καὶ τοῦ μὲν Ἰφικλέους φυγόντος
τοῦ δὲ Ἡρακλέους ὑποστάντος μαθεῖν ὡς Ἰφικλῆς ἐξ
αὐτοῦ γεγέννηται.

9 ἐδιδάχθη δὲ Ἡρακλῆς ἁρματηλατεῖν μὲν ὑπὸ Ἀμφι- 63
τρύωνος, παλαίειν δὲ ὑπὸ Αὐτολύκου, τοξεύειν δὲ ὑπὸ
Εὐρύτου, ὁπλομαχεῖν δὲ ὑπὸ Κάστορος, κιθαρῳδεῖν δὲ
2 ὑπὸ Λίνου. οὗτος δὲ ἦν ἀδελφὸς Ὀρφέως· ἀφικόμενος
δὲ εἰς Θήβας καὶ Θηβαῖος γενόμενος ὑπὸ Ἡρακλέους
τῇ κιθάρᾳ πληγεὶς ἀπέθανεν· ἐπιπλήξαντα γὰρ αὐτὸν
ὀργισθεὶς ἀπέκτεινε. δίκην δὲ ἐπαγόντων τινῶν αὐτῷ 64
φόνου, παρανέγνω νόμον Ῥαδαμάνθυος λέγοντος, ὃς
ἂν ἀμύνηται τὸν χειρῶν ἀδίκων κατάρξαντα, ἀθῷον

1. περὶ (compend.) E: παρὰ A 12. ἑκάτερον E, sed conf. Diod. IV 10, 1 ἑκατέρᾳ τῶν χειρῶν 13. Pherecyd. frg. 28 18. δὲ R: μὲν A ὑπὸ Αὐτ. ER: ὑπὸ τοῦ Αὐτ. A 19. τοξεύειν] conf. adn. II 71 25. λέγοντος EA: λέγοντα *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429 26. κατάρξαντα *E: ἄρξαντα A

εἶναι, καὶ οὕτως ἀπελύθη. δείσας δὲ Ἀμφιτρύων μὴ 3
πάλιν τι ποιήσῃ τοιοῦτον, ἔπεμψεν αὐτὸν εἰς τὰ βου-
φόρβια. κἀκεῖ τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάν-
των διήνεγκεν. ἦν δὲ καὶ θεωρηθεὶς φανερὸς ὅτι Διὸς 4
παῖς ἦν· τετραπήχυαῖον μὲν γὰρ εἶχε τὸ σῶμα, πυρὸς
δ' ἐξ ὀμμάτων ἔλαμπεν αἴγλην. οὐκ ἠστόχει δὲ οὔτε
τοξεύων οὔτε ἀκοντίζων.

65 ἐν δὲ τοῖς βουκολίοις ὑπάρχων ὀκτωκαιδεκαέτης 5
τὸν Κιθαιρώνειον ἀνεῖλε λέοντα. οὗτος γὰρ ὁρμώμενος
ἐκ τοῦ Κιθαιρῶνος τὰς Ἀμφιτρύωνος ἔφθειρε βόας
καὶ τὰς Θεσπίου. βασιλεὺς δὲ ἦν οὗτος Θεσπιῶν, πρὸς 10
66 ὃν ἀφίκετο Ἡρακλῆς ἑλεῖν βουλόμενος τὸν λέοντα. ὁ
δὲ αὐτὸν ἐξένισε πεντήκοντα ἡμέρας, καὶ ἐπὶ τὴν θήραν
ἐξιόντι νυκτὸς ἑκάστης μίαν συνεύναζε θυγατέρα (πεντή-
κοντα δὲ αὐτῷ ἦσαν ἐκ Μεγαμήδης γεγεννημέναι τῆς
Ἀρνέου)· ἐσπούδαζε γὰρ πάσας ἐξ Ἡρακλέους τεκνο- 2
ποιήσασθαι. Ἡρακλῆς δὲ μίαν νομίζων εἶναι τὴν ἀεὶ
συνευναζομένην, συνῆλθε πάσαις. καὶ χειρωσάμενος
τὸν λέοντα τὴν μὲν δορὰν ἠμφιέσατο, τῷ χάσματι δὲ
ἐχρήσατο κόρυθι.

67 ἀνακάμπτοντι δὲ αὐτῷ ἀπὸ τῆς θήρας συνήντησαν 11
κήρυκες παρὰ Ἐργίνου πεμφθέντες, ἵνα παρὰ Θηβαίων
τὸν δασμὸν λάβωσιν. ἐτέλουν δὲ Θηβαῖοι τὸν δασμὸν
Ἐργίνῳ δι' αἰτίαν τήνδε. Κλύμενον τὸν Μινυῶν βα- 2

1. ἀπελύθη ERR^a: ἀπελάθη A 4. φανερὸς (media vocis pars evanuit) R φανερῶς E: φοβερὸς A 4 s. διὸς παῖς ER: παῖς διὸς A 5 s. πυρὸς — αἴγλην] frg. trag. adesp. 33 N. 8. βουκολίοις E*C*: βουκωλίοις RR^a*B*T 9. κιθαιρώνειον RR^a*C*: κιθαιρώνιον E*B* γὰρ * add. E 11. θεστίου EA θεσπίων E: θεστίων A 12. ἀνελεῖν *Hr.* 14. ἑκάστης ER: ἑκάστῃ A 16. ἀρρένου E, Ἀρναίου *He.* 19. ἀμφιέσατο P: ἠμφιάσατο A, corr. *He.* 23. τὸν alterum del. *Hr.* 24. Ἐργίνῳ] R fol. 31^v μινύων RR^a*B*

σιλέα λίθῳ βαλὼν Μενοικέως ἡνίοχος, ὄνομα Περιήρης,
ἐν Ὀγχηστῷ Ποσειδῶνος τεμένει τιτρώσκει· ὁ δὲ κο-
μισθεὶς εἰς Ὀρχομενὸν ἡμιθνὴς ἐπισκήπτει τελευτῶν
3 Ἐργίνῳ τῷ παιδὶ ἐκδικῆσαι τὸν θάνατον αὐτοῦ. στρα- 68
τευσάμενος δὲ Ἐργῖνος ἐπὶ Θήβας, κτείνας οὐκ ὀλίγους
ἐσπείσατο μεθ' ὅρκων, ὅπως πέμπωσιν αὐτῷ Θηβαῖοι
δασμὸν ἐπὶ εἴκοσιν ἔτη, κατὰ ἔτος ἑκατὸν βόας. ἐπὶ
τοῦτον τὸν δασμὸν εἰς Θήβας τοὺς κήρυκας ἀπιόντας
4 συντυχὼν Ἡρακλῆς ἐλωβήσατο· ἀποτεμὼν γὰρ αὐτῶν
τὰ ὦτα καὶ τὰς ῥῖνας, καὶ διὰ σχοινίων τὰς χεῖρας
δήσας ἐκ τῶν τραχήλων, ἔφη τοῦτον Ἐργίνῳ καὶ
Μινύαις δασμὸν κομίζειν. ἐφ' οἷς ἀγανακτῶν ἐστρά- 69
5 τευσεν ἐπὶ Θήβας. Ἡρακλῆς δὲ λαβὼν ὅπλα παρ'
Ἀθηνᾶς καὶ πολεμαρχῶν Ἐργῖνον μὲν ἔκτεινε, τοὺς δὲ
Μινύας ἐτρέψατο καὶ τὸν δασμὸν διπλοῦν ἠνάγκασε
Θηβαίοις φέρειν. συνέβη δὲ κατὰ τὴν μάχην Ἀμφι-
6 τρύωνα γενναίως μαχόμενον τελευτῆσαι. λαμβάνει δὲ 70
Ἡρακλῆς παρὰ Κρέοντος ἀριστεῖον τὴν πρεσβυτάτην θυ-
γατέρα Μεγάραν, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς, Θηρί-
μαχος Κρεοντιάδης Δηικόων. τὴν δὲ νεωτέραν θυγατέρα
Κρέων Ἰφικλεῖ δίδωσιν, ἤδη παῖδα Ἰόλαον ἔχοντι ἐξ
7 Αὐτομεδούσης τῆς Ἀλκάθου. ἔγημε δὲ καὶ Ἀλκμήνην
μετὰ τὸν Ἀμφιτρύωνος θάνατον Διὸς παῖς Ῥαδάμανθυς,
κατῴκει δὲ ἐν Ὠκαλέαις τῆς Βοιωτίας πεφευγώς.
8 προσμαθὼν δὲ παρ' αὐτοῦ τὴν τοξικὴν Ἡρακλῆς 71

2. ὀρχηστῷ A, corr. *Aeg.* 10. διὰ σχοινίων del. *He.* 12. ἀγανακτῶν] Ἐργῖνος vel ἐκεῖνος add. *He.* 16. τὴν add. R 19. μεγάραν om. *B* 21. ἰφίκλῳ A, correxi * (Epit. Vat. p. 99) 22. ἀλκάνθου RR[a] *C* 24. ὠκαλέαις *A, fortasse Ὠκαλέᾳ scribendum est, non Ὠκαλείᾳ (edd.), conf. Steph. Byz. s. v., Strab. XI p.410 25. προσμαθὼν *ER: προμαθὼν A αὐτοῦ *A (οὗ E): Εὐρύτου ex II 63 *Aeg.*; fortasse τὴν τοξικὴν corruptum est.

ἔλαβε παρὰ Ἑρμοῦ μὲν ξίφος, παρ' Ἀπόλλωνος δὲ τόξα,
παρὰ δὲ Ἡφαίστου θώρακα χρυσοῦν, παρὰ δὲ Ἀθηνᾶς
πέπλον· ῥόπαλον μὲν γὰρ αὐτὸς ἔτεμεν ἐκ Νεμέας.
72 μετὰ δὲ τὴν πρὸς Μινύας μάχην συνέβη αὐτῷ κατὰ 12
ζῆλον Ἥρας μανῆναι, καὶ τούς τε ἰδίους παῖδας, οὓς
ἐκ Μεγάρας εἶχεν, εἰς πῦρ ἐμβαλεῖν καὶ τῶν Ἰφικλέους
δύο· διὸ καταδικάσας ἑαυτοῦ φυγὴν καθαίρεται μὲν
ὑπὸ Θεσπίου, παραγενόμενος δὲ εἰς Δελφοὺς πυνθά-
73 νεται τοῦ θεοῦ ποῦ κατοικήσει. ἡ δὲ Πυθία τότε 2
πρῶτον Ἡρακλέα αὐτὸν προσηγόρευσε· τὸ δὲ πρώην
Ἀλκείδης προσηγορεύετο. κατοικεῖν δὲ αὐτὸν εἶπεν ἐν
Τίρυνθι, Εὐρυσθεῖ λατρεύοντα ἔτη δώδεκα, καὶ τοὺς
ἐπιτασσομένους ἄθλους δέκα ἐπιτελεῖν, καὶ οὕτως ἔφη,
τῶν ἄθλων συντελεσθέντων, ἀθάνατον αὐτὸν ἔσεσθαι.
74 τοῦτο ἀκούσας ὁ Ἡρακλῆς εἰς Τίρυνθα ἦλθε, καὶ 5
τὸ προσταττόμενον ὑπὸ Εὐρυσθέως ἐτέλει. πρῶτον
μὲν οὖν ἐπέταξεν αὐτῷ τοῦ Νεμέου λέοντος τὴν δορὰν
κομίζειν· τοῦτο δὲ ζῷον ἦν ἄτρωτον, ἐκ Τυφῶνος γεγεν-
νημένον. πορευόμενος οὖν ἐπὶ τὸν λέοντα ἦλθεν εἰς
Κλεωνάς, καὶ ξενίζεται παρὰ ἀνδρὶ χερνήτῃ Μολόρχῳ.
καὶ θύειν ἱερεῖον θέλοντι εἰς ἡμέραν ἔφη τηρεῖν τριακο- 2
στήν, καὶ ἂν μὲν ἀπὸ τῆς θήρας σῶος ἐπανέλθῃ, Διὶ

2. δὲ ante Ἡφαίστου add. R 3. πέπλον EA Diod. IV 14, 3: παλτὸν *Fab.* 4. αὐτῷ μάχην συνέβη A, transpos. *Hr.* 5. δὲ (τε superscr.) R man. 1 6. ἰφικλέους *E: ἰφίκλου A 8. θεστίου EA 9. κατοικήσει EA: κατοικήσῃ *Br.* 10. πρώην *E: πρῶτον A, πρότερον *He.* 11. ἀλκίδης EA, corr. *Fab.* 11. αὐτὸν del. *Hr.* 13. δώδεκα EA, corr. *Hr.* 15. τίρυνθον R[a] *C* 16. προσταττόμενον EA Pedias. 1: τὰ προσταττόμενα *Hr.*; an τὸ ἀεὶ προσταττόμενον? 17. νεμέου EA: νεμεαίου Pedias. 2 18. γεγεννημένον ER[a]: γεγενημένον A 20. μολόρκῳ A, corr. *Aeg.* 21. ἱερεῖον R: ἱερεῖ A θέλοντι A: μέλλοντι Pedias. 3 *Hr*

σωτῆρι θύειν, ἐὰν δὲ ἀποθάνῃ, τότε ὡς ἥρωι ἐναγίζειν.
εἰς δὲ τὴν Νεμέαν ἀφικόμενος καὶ τὸν λέοντα μαστεύ- 75
3 σας ἐτόξευσε τὸ πρῶτον· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα,
ἀνατεινάμενος τὸ ῥόπαλον ἐδίωκε. συμφυγόντος δὲ εἰς
⟨τὸ⟩ ἀμφίστομον σπήλαιον αὐτοῦ τὴν ἑτέραν ἐνῳκοδό-
μησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ,
καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ κατέσχεν ἄγχων
ἕως ἔπνιξε, καὶ θέμενος ἐπὶ τῶν ὤμων ἐκόμιζεν εἰς
4 Κλεωνάς. καταλαβὼν δὲ τὸν Μόλορχον ἐν τῇ τελευ-
ταίᾳ τῶν ἡμερῶν ὡς νεκρῷ μέλλοντα τὸ ἱερεῖον ἐναγί-
ζειν, σωτῆρι θύσας Διὶ ἦγεν εἰς Μυκήνας τὸν λέοντα.
Εὐρυσθεὺς δὲ καταπλαγεὶς αὐτοῦ τὴν ἀνδρείαν ἀπεῖπε 76
τὸ λοιπὸν αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι, δεικνύειν δὲ
5 πρὸ τῶν πυλῶν ἐκέλευε τοὺς ἄθλους. φασὶ δὲ ὅτι
δείσας καὶ πίθον ἑαυτῷ χαλκοῦν εἰσκρυβῆναι ὑπὸ γῆν
κατεσκεύασε, καὶ πέμπων κήρυκα Κοπρέα Πέλοπος τοῦ
Ἠλείου ἐπέταττε τοὺς ἄθλους. οὗτος δὲ Ἴφιτον κτεί-
νας, φυγὼν εἰς Μυκήνας καὶ τυχὼν παρ' Εὐρυσθέως
καθαρσίων ἐκεῖ κατῴκει.

2 δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν Λερναίαν 77
ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτρα-
φεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ

1. τότε ὡς *Aeg.*: τῷ τέως A 3. τὸ * add. E Pedias. 4 5. τὸ * addidi Comm. Ribb. p. 138, conf. Diod. IV 11, 3 s. (αὐτοῦ reponere non necessarium videtur); αὐτοῦ del. *Hr.* τὴν E A Pedias. 4: τὴν μὲν *Hr.* ἐνῳκοδόμησεν *E: ἀνῳκοδόμησεν A (conf. Epit. Vat. p. 99) 6. ἐπεισῆλθε E A: ἐπῆλθε *He.* (ἐπιὼν Pedias. 4) 9. Κλεωνάς Pedias. 4 *Piersonus*: μυκήνας A 10. τὸ ἱερεῖον del. *He.* 12. καταπλαγεὶς *E: καταλαβὼν A ἀνδρείαν E (Pedias. 5): ἀνδρίαν A 12 s. ἀπείπατο λοιπὸν E A, corr. *Br.* 15. ἑαυτῷ *E: αὐτῷ A εἰς κρυβὴν E εἰσκρύβειν (compend.) R: εἰσκρυ ... R[a] εἰσκρ ... *C* εἰσκρυβῆναι *B* V, del. *Hr.* γῆν E: γῆς A 16. κόπρυα E 17. ἠλεῖον E: ἠλίου A κτείνας] explic. R fol. 31[v]

*τὴν χώραν διέφθειρεν. εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες
σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν*
78 *δὲ μέσην ἀθάνατον. ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος* 2
*Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵπ-
πους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ
τὰς πηγὰς τῆς Ἀμυμώνης, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε,
βάλλων βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκ-
βαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. ἡ δὲ θατέρῳ* 3
79 *τῶν ποδῶν ἐνείχετο περιπλακεῖσα. τῷ ῥοπάλῳ δὲ τὰς
κεφαλὰς κόπτων οὐδὲν ἀνύειν ἠδύνατο· μιᾶς γὰρ
κοπτομένης κεφαλῆς δύο ἀνεφύοντο. ἐπεβοήθει δὲ* 4
*καρκίνος τῇ ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. διὸ
τοῦτον ἀποκτείνας ἐπεκαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν
Ἰόλαον, ὃς μέρος τι καταπρήσας τῆς ἐγγὺς ὕλης τοῖς
δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν κεφαλῶν ἐκώλυεν*
80 *ἀνιέναι. καὶ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων* 5
*κεφαλῶν περιγενόμενος, τὴν ἀθάνατον ἀποκόψας κατώ-
ρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν, παρὰ τὴν ὁδὸν τὴν
φέρουσαν διὰ Λέρνης εἰς Ἐλαιοῦντα· τὸ δὲ σῶμα τῆς
ὕδρας ἀνασχίσας τῇ χολῇ τοὺς ὀιστοὺς ἔβαψεν. Εὐ-* 6
*ρυσθεὺς δὲ ἔφη μὴ δεῖν καταριθμῆσαι τοῦτον ἐν τοῖς
δέκα τὸν ἆθλον· οὐ γὰρ μόνος ἀλλὰ καὶ μετὰ Ἰολάου
τῆς ὕδρας περιεγένετο.*

5. *λόφῳ* E A: *τόπῳ* L, V man. 1 in marg. *Aeg.* 6. *ταῖς πηγαῖς He.* 7. *βάλλων* A Pedias. **Zenob. VI 26**: *βαλὼν* E *πεπηρωμένοις* R[a] *B* 8. *ἡ δὲ θατέρῳ* E: *ἡ δὲ θᾶττον* A; *ἡ μὲν οὖν θατέρῳ* Pedias. 6 *Hr.* 9. *ἐνείχετο* E Pedias. 6: *ἠνείχετο* A *τῷ ῥοπάλῳ δὲ* E A: *ὁ δὲ τῷ ῥοπάλῳ* Pedias. 6 *Hr.* 10. *ἠδύνατο* *E Zenob.: *ἐδύνατο* A 15. *τῶν κεφαλῶν* Pedias. 7 *Hr.*: *τῶν ἀναφυομέμων* (*ἐπιφ.* R[a]) *κεφαλῶν* A: *τῶν κεφαλῶν τῶν ἀναφυομένων* E 16. *καὶ* E Zenob.: *κατὰ* A 17. *ἀποκρύψας B* 19. *ἐλεοῦντα* E A, corr. *Rossius* Reisen im Peloponnes I p. 156 21. *τοῦτον* * add. E Pedias. 22. *δώδεκα* E A Pedias. 7, corr. *Hr.* *καὶ* E A, del. *Hr.*

3 τρίτον ἆθλον ἐπέταξεν αὐτῷ τὴν Κερυνῖτιν ἔλαφον 81
εἰς Μυκήνας ἔμπνουν ἐνεγκεῖν. ἦν δὲ ἡ ἔλαφος ἐν
Οἰνόῃ, χρυσόκερως, Ἀρτέμιδος ἱερά· διὸ καὶ βουλό-
μενος αὐτὴν Ἡρακλῆς μήτε ἀνελεῖν μήτε τρῶσαι,
2 συνεδίωξεν ὅλον ἐνιαυτόν. ἐπεὶ δὲ κάμνον τὸ θηρίον
τῇ διώξει συνέφυγεν εἰς ὄρος τὸ λεγόμενον Ἀρτεμίσιον,
κἀκεῖθεν ἐπὶ ποταμὸν Λάδωνα, τοῦτον διαβαίνειν μέλ-
λουσαν τοξεύσας συνέλαβε, καὶ θέμενος ἐπὶ τῶν ὤμων
3 διὰ τῆς Ἀρκαδίας ἠπείγετο. μετ' Ἀπόλλωνος δὲ Ἄρτεμις 82
συντυχοῦσα ἀφῃρεῖτο, καὶ τὸ ἱερὸν ζῷον αὐτῆς κτείνοντα
κατεμέμφετο. ὁ δὲ ὑποτιμησάμενος τὴν ἀνάγκην, καὶ τὸν
αἴτιον εἰπὼν Εὐρυσθέα γεγονέναι, πραΰνας τὴν ὀργὴν
τῆς θεοῦ τὸ θηρίον ἐκόμισεν ἔμπνουν εἰς Μυκήνας.
4 τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ τὸν Ἐρυμάνθιον 83
κάπρον ζῶντα κομίζειν· τοῦτο δὲ τὸ θηρίον ἠδίκει τὴν
Ψωφῖδα, ὁρμώμενον ἐξ ὄρους ὃ καλοῦσιν Ἐρύμανθον.
διερχόμενος οὖν Φολόην ἐπιξενοῦται Κενταύρῳ Φόλῳ,
2 Σειληνοῦ καὶ νύμφης μελίας παιδί. οὗτος Ἡρακλεῖ
μὲν ὀπτὰ παρεῖχε τὰ κρέα, αὐτὸς δὲ ὠμοῖς ἐχρῆτο.
αἰτοῦντος δὲ οἶνον Ἡρακλέους, ἔφη δεδοικέναι τὸν 84
κοινὸν τῶν Κενταύρων ἀνοῖξαι πίθον· θαρρεῖν δὲ παρα-
3 κελευσάμενος Ἡρακλῆς αὐτὸν ἤνοιξε, καὶ μετ' οὐ πολὺ
τῆς ὀσμῆς αἰσθόμενοι παρῆσαν οἱ Κένταυροι, πέτραις
ὡπλισμένοι καὶ ἐλάταις, ἐπὶ τὸ τοῦ Φόλου σπήλαιον.
τοὺς μὲν οὖν πρώτους τολμήσαντας εἴσω παρελθεῖν

1. κερνῆτιν E: κερνήτην A, corr. *Gal. He.* 5. συνεδίωξεν EA: συνεδίωκεν Pedias. 8 *Hr.* κάμνον EA: καμὸν Pedias. 8 *Hr.* 7. κακεῖθεν E: ἐκεῖθεν A λάδωνα E: λάδωνα καὶ A 9. ἐπήγετο E 10. κτείνοντα * scripsi: κτείναντα EA (ἔκτεινε Pedias. 9), 'quod occidere vellet' interpr. *Gal.*; θείναντα propos. *W. Gemoll* Fleckeis. ann. 1882 p. 464 s. 11. ὑποτιμησάμενος EA: προφασισάμενος Pedias. 9 18. σειληνοῦ E: σιληνοῦ A 23. τῆς E: διὰ τῆς A

Ἄγχιον καὶ Ἄγριον Ἡρακλῆς ἐτρέψατο βάλλων δαλοῖς,
τοὺς δὲ λοιποὺς ἐτόξευσε διώκων ἄχρι τῆς Μαλέας.
85 *ἐκεῖθεν δὲ πρὸς Χείρωνα συνέφυγον, ὃς ἐξελαθεὶς ὑπὸ* 4
Λαπιθῶν ὄρους Πηλίου παρὰ Μαλέαν κατῴκησε. τού-
τῳ περιπεπτωκότας τοὺς Κενταύρους τοξεύων ἵησι βέλος
ὁ Ἡρακλῆς, τὸ δὲ ἐνεχθὲν Ἐλάτου διὰ τοῦ βραχίονος
τῷ γόνατι τοῦ Χείρωνος ἐμπήγνυται. ἀνιαθεὶς δὲ 5
Ἡρακλῆς προσδραμὼν τό τε βέλος ἐξείλκυσε, καὶ δόν-
τος Χείρωνος φάρμακον ἐπέθηκεν. ἀνίατον δὲ ἔχων
τὸ ἕλκος εἰς τὸ σπήλαιον ἀπαλλάσσεται. κἀκεῖ τελευ-
τῆσαι βουλόμενος, καὶ μὴ δυνάμενος ἐπείπερ ἀθάνατος
ἦν, ἀντιδόντος Διὶ Προμηθέως αὐτὸν ἀντ' αὐτοῦ γενησό-
86 *μενον ἀθάνατον, οὕτως ἀπέθανεν. οἱ λοιποὶ δὲ τῶν* 6
Κενταύρων φεύγουσιν ἄλλος ἀλλαχῇ, καὶ τινὲς μὲν παρε-
γένοντο εἰς ὄρος Μαλέαν, Εὐρυτίων δὲ εἰς Φολόην, Νέσ-
σος δὲ ἐπὶ ποταμὸν Εὔηνον. τοὺς δὲ λοιποὺς ὑποδεξάμε-
νος Ποσειδῶν εἰς Ἐλευσῖνα ὄρει κατεκάλυψεν. Φόλος δὲ 7
ἑλκύσας ἐκ νεκροῦ τὸ βέλος ἐθαύμαζεν, εἰ τοὺς τηλικού-
τους τὸ μικρὸν διέφθειρε· τὸ δὲ τῆς χειρὸς ὀλισθῆσαν

1. *Ἄγχιον* A: *Ἄρκτον* *Roscherus* Fleckeis. ann. 1872 p. 426. *βάλλων* A: *βαλὼν* edd. praeter *Westermannum* 2. *μαλέας* (in *μηλέας* mutatum) R[a]: *μηλέας* A 3. *ἐξελαθεὶς* E R[a]: *ἐξελασθεὶς* A 4. *λαπιθῶν* E: *λαπίθων* A 6. *ὁ Ἡρακλῆς* * add. E 7. *τῷ γόνατι* * Tzetz. Chil. V 123 *Fab.*: *τῷ γονάτῳ* E *τὸ γόνατον* A *τοῦ* * E A, om. edd. recc. 9. *δὲ* add. E 10. *τὸ βέλος* *C *ἀλλάσσεται* E A, corr. *Scaliger* 12. *αὐτὸν* * restitui Comm. Ribb. p. 147 adn. (ubi vide reliquorum coniecturas): *τὸν* E A 15. *ὄρος* del. *Hr.* *Μαλέαν* *Aeg.*: *μιθέην* A 17 — p. 77, 3. *Φόλος δὲ* — *θάψας αὐτὸν* * ex E restitui Comm. Ribb. p. 144 s.: *ἐπανελθὼν δὲ εἰς Φολόην Ἡρακλῆς καὶ Φόλον τελευτῶντα* (sic!) *θεασάμενος μετὰ καὶ ἄλλων πολλῶν* (sic!), *ἑλκύσας ἐκ νεκροῦ τὸ βέλος ἐθαύμαζεν, εἰ τοὺς τηλικούτους τὸ μικρὸν διέφθειρε· τὸ δὲ τῆς χειρὸς ὀλισθῆσαν ἦλθον* (sic!) *ἐπὶ τὸν παῖδα* (sic!) *καὶ παραχρῆμα ἀπέκτεινεν αὐτόν. θάψας δὲ Φόλον Ἡρακλῆς* A 19. *ὀλισθὸν* *Hr.*.

ἦλθεν ἐπὶ τὸν πόδα καὶ παραχρῆμα ἀπέκτεινεν αὐτόν.
8 ἐπανελθὼν δὲ εἰς Φολόην Ἡρακλῆς καὶ Φόλον τελευ- 87
τήσαντα θεασάμενος, θάψας αὐτὸν ἐπὶ τὴν τοῦ κάπρου
θήραν παραγίνεται, καὶ διώξας αὐτὸν ἔκ τινος λόχμης
μετὰ κραυγῆς, εἰς χιόνα πολλὴν παρειμένον εἰσωθήσας
ἐμβροχίσας τε ἐκόμισεν εἰς Μυκήνας.

5 πέμπτον ἐπέταξεν αὐτῷ ἆθλον τῶν Αὐγείου βοσκη- 88
μάτων ἐν ἡμέρᾳ μιᾷ μόνον ἐκφορῆσαι τὴν ὄνθον. ἦν
δὲ ὁ Αὐγείας βασιλεὺς Ἤλιδος, ὡς μέν τινες εἶπον,
παῖς Ἡλίου, ὡς δέ τινες, Ποσειδῶνος, ὡς δὲ ἔνιοι,
2 Φόρβαντος, πολλὰς δὲ εἶχε βοσκημάτων ποίμνας. τούτῳ
προσελθὼν Ἡρακλῆς, οὐ δηλώσας τὴν Εὐρυσθέως ἐπι-
ταγήν, ἔφασκε μιᾷ ἡμέρᾳ τὴν ὄνθον ἐκφορήσειν, εἰ
δώσει τὴν δεκάτην αὐτῷ τῶν βοσκημάτων. Αὐγείας
3 δὲ ἀπιστῶν ὑπισχνεῖται. μαρτυράμενος δὲ Ἡρακλῆς 89
τὸν Αὐγείου παῖδα Φυλέα, τῆς τε αὐλῆς τὸν θεμέλιον
διεῖλε καὶ τὸν Ἀλφειὸν καὶ τὸν Πηνειὸν σύνεγγυς
ῥέοντας παροχετεύσας ἐπήγαγεν, ἔκρουν δι' ἄλλης ἐξό-
4 δου ποιήσας. μαθὼν δὲ Αὐγείας ὅτι κατ' ἐπιταγὴν
Εὐρυσθέως τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπ-
εδίδου, προσέτι δ' ἠρνεῖτο καὶ μισθὸν ὑποσχέσθαι
δώσειν, καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἔλεγεν εἶναι.
5 καθεζομένων δὲ τῶν δικαστῶν κληθεὶς ὁ Φυλεὺς ὑπὸ 90

4. λόγχμης *B* 5. παρειμένον εἰσωθήσας *E: παρειμένον ἐμβροχίσας τε A (τε del. *He.*), unde textum restitui Epit. Vat. p. 100 7. πέμπτον E: πέμπτον μὲν A 7 ss. Αὐγείου *] per ει scriptum constanter perhibent E Pedias., plerumque A 9. δὲ ὁ A: δὲ E edd. praeter *Westermannum* 11. post ποίμνας lacunam indicavit *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429 (conf. Pedias. 12: συχνὰ τούτῳ βοσκήματα, χώρῳ δ' ἐνὶ μακροῖς ἔτεσι σηκαζόμενα κόπρον ἀμύθητον ἐπεσώρευσαν) 15. μαρτυράμενος E Pedias. 14: μαρτυρούμενος A 17. ποταμὸν post Ἀλφειὸν in A, post Πηνειὸν in E collocatum Pedias. 14 secutus delevi * 18. ἐκρροῦν *B* 22. τοῦτον *B*

*Ἡρακλέους τοῦ πατρὸς κατεμαρτύρησεν, εἰπὼν ὁμολο-
γῆσαι μισθὸν δώσειν αὐτῷ. ὀργισθεὶς δὲ Αὐγείας,
πρὶν τὴν ψῆφον ἐνεχθῆναι, τόν τε Φυλέα καὶ τὸν*
91 *Ἡρακλέα βαδίζειν ἐξ Ἤλιδος ἐκέλευσε. Φυλεὺς μὲν* 6
*οὖν εἰς Δουλίχιον ἦλθε κἀκεῖ κατῴκει, Ἡρακλῆς δὲ
εἰς Ὤλενον πρὸς Δεξαμενὸν ἧκε, καὶ κατέλαβε τοῦτον
μέλλοντα δι' ἀνάγκην μνηστεύειν Εὐρυτίωνι Κενταύρῳ
Μνησιμάχην τὴν θυγατέρα· ὑφ' οὗ παρακληθεὶς βοηθεῖν* 7
*ἐλθόντα ἐπὶ τὴν νύμφην Εὐρυτίωνα ἀπέκτεινεν. Εὐρυ-
σθεὺς δὲ οὐδὲ τοῦτον ἐν τοῖς δέκα προσεδέξατο τὸν
ἆθλον, λέγων ἐπὶ μισθῷ πεπρᾶχθαι.*

92 *ἕκτον ἐπέταξεν ἆθλον αὐτῷ τὰς Στυμφαλίδας ὄρνι-* 6
*θας ἐκδιῶξαι. ἦν δὲ ἐν Στυμφάλῳ πόλει τῆς Ἀρκαδίας
Στυμφαλὶς λεγομένη λίμνη, πολλῇ συνηρεφὴς ὕλῃ· εἰς
ταύτην ὄρνεις συνέφυγον ἄπλετοι, τὴν ἀπὸ τῶν λύκων*
93 *ἁρπαγὴν δεδοικυῖαι. ἀμηχανοῦντος οὖν Ἡρακλέους* 2
*πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα κρόταλα
δίδωσιν αὐτῷ Ἀθηνᾶ παρὰ Ἡφαίστου λαβοῦσα. ταῦτα
κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου τὰς
ὄρνιθας ἐφόβει· αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι
μετὰ δέους ἀνίπταντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς
ἐτόξευσεν αὐτάς.*

94 *ἕβδομον ἐπέταξεν ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον.* 7
*τοῦτον Ἀκουσίλαος μὲν εἶναί φησι τὸν διαπορθμεύ-
σαντα Εὐρώπην Διί, τινὲς δὲ τὸν ὑπὸ Ποσειδῶνος*

5. *δουλίχιον* R[a] Pedias. 15: *δολίχιον* A 6. *προσδεξάμενον* A Pedias. 15, corr. *Aeg.* *ἧκε*] *κἀκεῖ κατῴκει* add. A, del. *Müllerus* 10. *δώδεκα* E A Pedias. 15, corr. *Hr.* *τὸν* * add. E Pedias. 15 11. *πεπρᾶχθαι* * E: *πεπραχέναι* 15. *ὄρνις* E A, corr. *Aeg.* *λύκων*] conf. *Hr.* Herm. XI p. 233 19. *κρούων* E A: *κροτῶν* Pedias. 17 *ἐπὶ* E Pedias. 17: *ὑπὸ* A *παρακειμένου* E Pedias. 17: *περικειμένου* A 21. *ἀνίπταντο* E E: *ἀφίπταντο* Pedias. 17 *Gal.* 24. Acusil. frg. 20 *φασὶ B*

ἀναδοθέντα ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι
2 Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης. καί φασι
θεασάμενον αὐτὸν τοῦ ταύρου τὸ κάλλος τοῦτον μὲν
εἰς τὰ βουκόλια ἀποπέμψαι, θῦσαι δὲ ἄλλον Ποσειδῶνι·
ἐφ' οἷς ὀργισθέντα τὸν θεὸν ἀγριῶσαι τὸν ταῦρον.
3 ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, ἐπειδὴ 95
συλλαβεῖν ἀξιοῦντι Μίνως εἶπεν αὐτῷ λαμβάνειν διαγω-
νισαμένῳ, λαβὼν καὶ πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε,
4 καὶ τὸ λοιπὸν εἴασεν ἄνετον· ὁ δὲ πλανηθεὶς εἰς Σπάρ-
την τε καὶ Ἀρκαδίαν ἅπασαν, καὶ διαβὰς τὸν Ἰσθμόν,
εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικόμενος τοὺς ἐγχωρίους
διελυμαίνετο.
8 ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ τὰς Διομήδους τοῦ 96
Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν· ἦν δὲ οὗτος
Ἄρεος καὶ Κυρήνης, βασιλεὺς Βιστόνων ἔθνους Θρᾳ-
κίου καὶ μαχιμωτάτου, εἶχε δὲ ἀνθρωποφάγους ἵππους.
2 πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων καὶ
βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρ-
3 χοντας ἤγαγεν ἐπὶ τὴν θάλασσαν. τῶν δὲ Βιστόνων 97
σὺν ὅπλοις ἐπιβοηθούντων τὰς μὲν ἵππους παρέδωκεν
Ἀβδήρῳ φυλάσσειν· οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκρὸς
ἐξ Ὀποῦντος, Ἡρακλέους ἐρώμενος, ὃν αἱ ἵπποι διέ-
4 φθειραν ἐπισπασάμεναι· πρὸς δὲ τοὺς Βίστονας διαγω-
νισάμενος καὶ Διομήδην ἀποκτείνας τοὺς λοιποὺς
ἠνάγκασε φεύγειν, καὶ κτίσας πόλιν Ἄβδηρα παρὰ τὸν

2. ἐκ τῆς E A: ἐκ Pedias. 18 *Hr.* 4. ἀποπέμψαι E edd.: ἀποπέμπειν A 7. συλλαβεῖν *E: λαβεῖν A (conf. Diod. IV 13, 4: σύνεργον λαβών) 8. λαβὼν καὶ *E: καὶ λαβὼν A 9. εἰς * add. E 9 s. Σπάρτην — ἅπασαν E A, om. Pedias. 19 *He.*, sed conf. Epit. Vat. p. 101 13. αὐτῷ] incip. R fol. 26ʳ 16. καὶ E A, del. *Br.* 17. καὶ * add. E 18. ὑπάρχοντας E A: om. Pedias. *He.* 21. ἀβδήρῳ E: αὐδήρῳ vel ἀνδήρῳ A Pedias. 21 25. ἠνάγκασε *E Pedias. 21: ἠνάγκαζε A ἄβδηρα *E:

τάφον τοῦ διαφθαρέντος Ἀβδήρου, τὰς ἵππους κομίσας
Εὐρυσθεῖ ἔδωκε. μεθέντος δὲ αὐτὰς Εὐρυσθέως, εἰς
τὸ λεγόμενον ὄρος Ὄλυμπον ἐλθοῦσαι πρὸς τῶν θηρίων
ἀπώλοντο.

98 ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε ζωστῆρα κομίζειν 9
τὸν Ἱππολύτης. αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων, αἳ
κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν, ἔθνος μέγα
τὰ κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρίαν, καὶ εἴ ποτε
μιγεῖσαι γεννήσειαν, τὰ θήλεα ἔτρεφον, καὶ τοὺς μὲν
δεξιοὺς μαστοὺς ἐξέθλιβον, ἵνα μὴ κωλύωνται ἀκοντί-
ζειν, τοὺς δὲ ἀριστεροὺς εἴων, ἵνα τρέφοιεν. εἶχε δὲ 2
Ἱππολύτη τὸν Ἄρεος ζωστῆρα, σύμβολον τοῦ πρωτεύειν
99 ἁπασῶν. ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο,
λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς
Ἀδμήτης. παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους ἐν 3
μιᾷ νηὶ ἔπλει, καὶ προσίσχει νήσῳ Πάρῳ, ἣν κατῴκουν
οἱ Μίνωος υἱοὶ Εὐρυμέδων Χρύσης Νηφαλίων Φιλό-
λαος. ἀποβάντων δὲ δύο τῶν ἐν ⟨τῇ⟩ νηὶ συνέβη
τελευτῆσαι ὑπὸ τῶν Μίνωος υἱῶν· ὑπὲρ ὧν ἀγανακτῶν 4
Ἡρακλῆς τούτους μὲν παραχρῆμα ἀπέκτεινε, τοὺς δὲ
λοιποὺς κατακλείσας ἐπολιόρκει, ἕως ἐπιπρεσβευσάμενοι
παρεκάλουν ἀντὶ τῶν ἀναιρεθέντων δύο λαβεῖν, οὓς
100 ἂν αὐτὸς θελήσειεν. ὁ δὲ λύσας τὴν πολιορκίαν, καὶ 5
τοὺς Ἀνδρόγεω τοῦ Μίνωος υἱοὺς ἀνελόμενος Ἀλκαῖον
καὶ Σθένελον, ἧκεν εἰς Μυσίαν πρὸς Λύκον τὸν Δασκύ-

αὔδηραν R Pedias. 21 ἄνδηρον A Ἄβδηρον edd. (conf. Herodot. I 168, Strab. VII p. 331 frg. 45 Kr., Steph. Byz. s. v.) 1. ἀβδήρῳ E: αὐδήρῳ vel ἀνδήρῳ A Pedias. 21 τὰς ER: τοὺς A 5. ἡρακλῆς ἐπετάγη E, ἐπέταξεν αὐτῷ *Hr.* 8. ἀνδρίαν A: ἀνδρείαν *Hr.* 11. τὰς δὲ ἀριστερὰς R 16. πλεῖ E ἣν *Fab.*: καὶ A, καὶ ἀπεώθουν *Müllerus* 17. χρύσης R O R^a: καὶ χρύσης A 18. ἀπὸ πάντων A, corr. *He.* δὲ add. R R^a τῇ add. *Br.* 23. θελήσῃ *Br.* 24. ἑλόμενος *He.*

λου, καὶ ξενισθεὶς ὑπὸ . . . τοῦ Βεβρύκων βασιλέως
6 συμβαλόντων, βοηθῶν Λύκῳ πολλοὺς ἀπέκτεινε, μεθ'
ὧν καὶ τὸν βασιλέα Μύγδονα, ἀδελφὸν Ἀμύκου. καὶ
τῆς Βεβρύκων πολλὴν ἀποτεμόμενος γῆν ἔδωκε Λύκῳ·
ὁ δὲ πᾶσαν ἐκείνην ἐκάλεσεν Ἡράκλειαν.
7 καταπλεύσαντος δὲ εἰς τὸν ἐν Θεμισκύρᾳ λιμένα, 101
παραγενομένης εἰς αὐτὸν Ἱππολύτης καὶ τίνος ἥκοι
χάριν πυθομένης, καὶ δώσειν τὸν ζωστῆρα ὑποσχο-
μένης, Ἥρα μιᾷ τῶν Ἀμαζόνων εἰκασθεῖσα τὸ πλῆθος
ἐπεφοίτα, λέγουσα ὅτι τὴν βασιλίδα ἀφαρπάζουσιν οἱ
8 προσελθόντες ξένοι. αἱ δὲ μεθ' ὅπλων ἐπὶ τὴν ναῦν 102
κατέθεον σὺν ἵπποις. ὡς δὲ εἶδεν αὐτὰς καθωπλισ-
μένας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν
μὲν Ἱππολύτην κτείνας τὸν ζωστῆρα ἀφαιρεῖται, πρὸς
δὲ τὰς λοιπὰς ἀγωνισάμενος ἀποπλεῖ, καὶ προσίσχει
Τροίᾳ.
9 συνεβεβήκει δὲ τότε κατὰ μῆνιν Ἀπόλλωνος καὶ 103
Ποσειδῶνος ἀτυχεῖν τὴν πόλιν. Ἀπόλλων γὰρ καὶ
Ποσειδῶν τὴν Λαομέδοντος ὕβριν πειράσαι θέλοντες,
εἰκασθέντες ἀνθρώποις ὑπέσχοντο ἐπὶ μισθῷ τειχιεῖν
τὸ Πέργαμον. τοῖς δὲ τειχίσασι τὸν μισθὸν οὐκ ἀπεδί-
10 δου. διὰ τοῦτο Ἀπόλλων μὲν λοιμὸν ἔπεμψε, Ποσει-

1 s. ὑπ' ⟨αὐτοῦ,⟩ τοῦ Βεβρύκων βασιλέως εἰσβαλόντος ⟨εἰς τὴν γῆν,⟩ βοηθῶν *He.* ὑπ' ⟨αὐτοῦ, τούτου δὲ καὶ⟩ τοῦ Βεβρύκων βασιλέως συμβαλόντων *Sommerus* 3. Μύγδονα *Aeg.* ex Tzetz. Chil. II 314: μύγαονα A 4. τῆς * reposui: τὴν A πολλὴν *He.*: πόλιν A 6 ss. conf. Zenob. V 33 6. καταπλεύσας A, corr. *Aeg.* ἐθεμισκύρᾳ E: ἐν μισκύρᾳ R^a *B* ἐν μισώρᾳ *C* 7. εἰς *E Tzetz. Lycophr. 1327: ὡς A, πρὸς αὐτὸν (scil. Ἡρακλέα) Pedias. 23 *Hr.* 7 s. τίνος ἥκοι χάριν A Tzetz.: τίνος χάριν ἥκοι E 8. ὑποσχομένης Pedias. 23 *Hr.*: ὑπισχνουμενης EA 10. ὅτι * add. E ἀφαρπάζουσιν *ER: ἁρπάζουσιν A (Tzetz.) 12. σὺν ἵπποις EA, del. *Hr.* 13. δόλου E (R?): δήλου A 20. ὑπέσχετο *B* 22. λοιπὸν R

δῶν δὲ κῆτος ἀναφερόμενον ὑπὸ πλημμυρίδος, ὃ τοὺς
104 *ἐν τῷ πεδίῳ συνήρπαζεν ἀνθρώπους. χρησμῶν δὲ* 11
λεγόντων ἀπαλλαγὴν ἔσεσθαι τῶν συμφορῶν, ἐὰν προθῇ
Λαομέδων Ἡσιόνην τὴν θυγατέρα αὐτοῦ τῷ κήτει
βοράν, οὗτος προύθηκε ταῖς πλησίον τῆς θαλάσσης
πέτραις προσαρτήσας. ταύτην ἰδὼν ἐκκειμένην Ἡρα- 12
κλῆς ὑπέσχετο σώσειν, εἰ τὰς ἵππους παρὰ Λαομέδον-
τος λήψεται ἃς Ζεὺς ποινὴν τῆς Γανυμήδους ἁρπαγῆς
ἔδωκε. δώσειν δὲ Λαομέδοντος εἰπόντος, κτείνας τὸ
κῆτος Ἡσιόνην ἔσωσε. μὴ βουλομένου δὲ τὸν μισθὸν
ἀποδοῦναι, πολεμήσειν Τροίᾳ ἀπειλήσας ἀνήχθη.

105 *καὶ προσίσχει Αἴνῳ, ἔνθα ξενίζεται ὑπὸ Πόλτυος.* 13
ἀποπλέων δὲ ἐπὶ τῆς ᾐόνος τῆς Αἰνίας Σαρπηδόνα,
Ποσειδῶνος μὲν υἱὸν ἀδελφὸν δὲ Πόλτυος, ὑβριστὴν
ὄντα τοξεύσας ἀπέκτεινε. καὶ παραγενόμενος εἰς Θάσον
καὶ χειρωσάμενος τοὺς ἐνοικοῦντας Θρᾷκας ἔδωκε τοῖς
Ἀνδρόγεω παισὶ κατοικεῖν. ἐκ Θάσου δὲ ὁρμηθεὶς ἐπὶ 14
Τορώνην Πολύγονον καὶ Τηλέγονον, τοὺς Πρωτέως
τοῦ Ποσειδῶνος υἱούς, παλαίειν προκαλουμένους κατὰ
τὴν πάλην ἀπέκτεινε. κομίσας δὲ τὸν ζωστῆρα εἰς
Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.

106 *δέκατον ἐπετάγη ἆθλον τὰς Γηρυόνου βόας ἐξ* 10
Ἐρυθείας κομίζειν. Ἐρύθεια δὲ ἦν Ὠκεανοῦ πλησίον
κειμένη νῆσος, ἣ νῦν Γάδειρα καλεῖται. ταύτην κατῴ- 2
κει Γηρυόνης Χρυσάορος καὶ Καλλιρρόης τῆς Ὠκεανοῦ,

3. *προθῇ* E(R?): *προσθῇ* A 4 s. *τῷ κήτει βορὰν, οὗτος* *E: *βορὰν κήτει, ὁ δὲ* A 5. *θα|λάσσης*] R fol. 26ᵛ 7. *σώσειν* E: *σώσειν* (*σαώσειν* R) *αὐτὴν* A 8. *γαννυμήδους* EA 11. *τροίᾳ* *E: *τροίαν* A 13. *τῆς* add. R *αἰνείας* A, corr. *Aeg.* 14. *ποσειδῶν* R 15. *παραγενόμενος* R (compend.): *παραγενομένου* A 22. *ἐπετάγη* E: *δὲ ἐπετάγη* R *δὲ ἐτάγη* A *βόας* *E: *βοῦς* A 23. *ἐρυθίας . . . ἐρυθία* ERRᵃ 25. *καλλιρόης* EA

*τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, συνηγμένον εἰς ἓν
κατὰ τὴν γαστέρα, ἐσχισμένον δὲ εἰς τρεῖς ἀπὸ λαγό-*
3 *νων τε καὶ μηρῶν. εἶχε δὲ φοινικᾶς βόας, ὧν ἦν βου-
κόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθος ὁ κύων δικέφαλος*
4 *ἐξ Ἐχίδνης καὶ Τυφῶνος γεγεννημένος. πορευόμενος* 107
*οὖν ἐπὶ τὰς Γηρυόνου βόας διὰ τῆς Εὐρώπης, ἄγρια
πολλὰ ⟨ζῷα⟩ ἀνελὼν Λιβύης ἐπέβαινε, καὶ παρελθὼν
Ταρτησσὸν ἔστησε σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων*
5 *Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας. θερό-
μενος δὲ ὑπὸ Ἡλίου κατὰ τὴν πορείαν, τὸ τόξον ἐπὶ
τὸν θεὸν ἐνέτεινεν· ὁ δὲ τὴν ἀνδρείαν αὐτοῦ θαυμάσας
χρύσεον ἔδωκε δέπας, ἐν ᾧ τὸν Ὠκεανὸν διεπέρασε. καὶ* 108
παραγενόμενος εἰς Ἐρύθειαν ἐν ὄρει Ἄβαντι αὐλίζεται.
6 *αἰσθόμενος δὲ ὁ κύων ἐπ' αὐτὸν ὥρμα· ὁ δὲ καὶ τοῦτον
τῷ ῥοπάλῳ παίει, καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ
κυνὶ βοηθοῦντα ἀπέκτεινε. Μενοίτης δὲ ἐκεῖ τὰς Ἅιδου*
7 *βόας βόσκων Γηρυόνῃ τὸ γεγονὸς ἀπήγγειλεν. ὁ δὲ
καταλαβὼν Ἡρακλέα παρὰ ποταμὸν Ἀνθεμοῦντα τὰς
βόας ἀπάγοντα, συστησάμενος μάχην τοξευθεὶς ἀπέ-
θανεν. Ἡρακλῆς δὲ ἐνθέμενος τὰς βόας εἰς τὸ δέπας* 109
καὶ διαπλεύσας εἰς Ταρτησσὸν Ἡλίῳ πάλιν ἀπέδωκε

1. *συνηγμένον μὲν Br.* 2. *δὲ He.*: *τε* A schol. Plat. Legg. VII p. 795 c 3. *φονικὰς* R*B* 4. *Ὄρθος* Pedias. 26 schol. Plat. Tim. p. 24 e (Hes. Theog. 293) *Hr.*: *ὄρθρος* A Tzetz. Chil. II 333 .*ὁ* om..Pedias. 26 *Hr.* 5. *γεγενημένος BC* 6 s. *ἄγρια πολλὰ ⟨ζῷα⟩ ἀνελὼν* scripsi coll. Diod: IV 17, 3: *ἄγρια πολλὰ παρελθὼν* A, quod omisit schol. Plat. *Hr.* (*παρελὼν* iam proposuerat *Clavierius*) 7. *λιβύης* R schol. Plat.: *λιβύην* A *ἐπέβη* schol. Plat. *Hr.* 8 ss. *ταρτησὸν* A 8. *ὅρων* schol. Plat. *Aeg.*: *ὀρῶν* A 9. *ἀντιστοίχους* schol. Plat.: *ἀντιστοί* (χ superscr.) R *ἀντιστοίχων* R[a] *C* *ἀντιστοίχω B* *θερόμενος* *R Pedias. 26: *θερμαινόμενος* A 13. *ἐρυθίαν* R 19. *τοξευθεὶς* (R?): *καὶ τοξευθεὶς* A 20. *δὲ* add. R

τὸ δέπας. διελθὼν δὲ Ἀβδηρίαν εἰς Λιγυστίνην ἦλθεν, 8
ἐν ᾗ τὰς βόας ἀφηροῦντο Ἰαλεβίων τε καὶ Δέρκυνος
οἱ Ποσειδῶνος υἱοί, οὓς κτείνας διὰ Τυρρηνίας ᾔει.
110 ἀπὸ Ῥηγίου δὲ εἷς ἀπορρήγνυσι ταῦρος, καὶ ταχέως 9
εἰς τὴν θάλασσαν ἐμπεσὼν καὶ διανηξάμενος ⟨εἰς⟩
Σικελίαν, καὶ τὴν πλησίον χώραν διελθών, ἦλθεν εἰς
111 πεδίον Ἔρυκος, ὃς ἐβασίλευεν Ἐλύμων. Ἔρυξ δὲ ἦν
Ποσειδῶνος παῖς, ὃς τὸν ταῦρον ταῖς ἰδίαις συγκατέ-
μιξεν ἀγέλαις. παραθέμενος οὖν τὰς βόας Ἡρακλῆς 10
Ἡφαίστῳ ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἠπείγετο· εὑρὼν δὲ
ἐν ταῖς τοῦ Ἔρυκος ἀγέλαις, λέγοντος οὐ δώσειν ἂν
μὴ παλαίσας αὐτοῦ περιγένηται, τρὶς περιγενόμενος
κατὰ τὴν πάλην ἀπέκτεινε, καὶ τὸν ταῦρον λαβὼν μετὰ
112 τῶν ἄλλων ἐπὶ τὸν Ἰόνιον ἤλαυνε πόντον. ὡς δὲ 11
ἦλθεν ἐπὶ τοὺς μυχοὺς τοῦ πόντου, ταῖς βουσὶν οἶστρον
ἐνέβαλεν ἡ Ἥρα, καὶ σχίζονται κατὰ τὰς τῆς Θρᾴκης
ὑπωρείας· ὁ δὲ διώξας τὰς μὲν συλλαβὼν ἐπὶ τὸν Ἑλ-
λήσποντον ἤγαγεν, αἱ δὲ ἀπολειφθεῖσαι τὸ λοιπὸν ἦσαν
ἄγριαι. μόλις δὲ τῶν βοῶν συνελθουσῶν Στρυμόνα 12
μεμψάμενος τὸν ποταμόν, πάλαι τὸ ῥεῖθρον πλωτὸν ὂν
ἐμπλήσας πέτραις ἄπλωτον ἐποίησε, καὶ τὰς βόας Εὐ-
ρυσθεῖ κομίσας δέδωκεν. ὁ δὲ αὐτὰς κατέθυσεν Ἥρᾳ.
113 τελεσθέντων δὲ τῶν ἄθλων ἐν μηνὶ καὶ ἔτεσιν 11

1. αὐδηρίαν vel ἀνδηρίαν A: Ἰβηρίαν *Gal.*, sed conf. Strab. III p. 236, Steph. Byz. s. v. Ἄβδηρα *He.* λιβύην A: Λιγυστίνην *Gal.* Λίγυας *He.* (διὰ τῆς Λιγυστικῆς Diod. IV 19, 4
2. ἰαλεβίων *R: ἀλεβίων A 5. εἰς add. *Aeg.* 6. καὶ τὴν — διελθὼν del. *He.*, sed conf. Comm. Ribb. p. 150 διελθὼν] τὴν ἀπ' ἐκείνου κληθεῖσαν Ἰταλίαν· Τυρρηνοὶ γὰρ ἰταλὸν τὸν ταῦρον ἐκάλεσαν add. A (Tzetz. Chil. II 344 s.), del. *He.*
11. ἀγέλαις *] ἀπαιτεῖ καὶ falso addunt *edd.* ἂν *Hr.*: εἰ A
16. τῆς add. R 20. ἀμειψάμενος *Canterus* τὸ ῥεῖθρον πάλαι *He.* ὂν *Com.*: ὃν (sic!) R ὃν A 21. πετρῶν *Hr.*
23. ἐν] ἐνὶ *Aeg.*

ὀκτώ, μὴ προσδεξάμενος Εὐρυσθεὺς τόν τε τῶν τοῦ
Αὐγέου βοσκημάτων καὶ τὸν τῆς ὕδρας, ἑνδέκατον ἐπ-
έταξεν ἆθλον παρ' Ἑσπερίδων χρύσεα μῆλα κομίζειν.
2 ταῦτα δὲ ἦν, οὐχ ὥς τινες εἶπον ἐν Λιβύῃ, ἀλλ' ἐπὶ
τοῦ Ἄτλαντος ἐν Ὑπερβορέοις· ἃ Διὶ ⟨Γῆ⟩ γήμαντι
Ἥραν ἐδωρήσατο. ἐφύλασσε δὲ αὐτὰ δράκων ἀθάνατος,
Τυφῶνος καὶ Ἐχίδνης, κεφαλὰς ἔχων ἑκατόν· ἐχρῆτο
δὲ φωναῖς παντοίαις καὶ ποικίλαις. μετὰ τούτου δὲ 114
Ἑσπερίδες ἐφύλαττον, Αἴγλη Ἐρύθεια Ἑσπερία. Ἀρέ-
3 θουσα. πορευόμενος οὖν ἐπὶ ποταμὸν Ἐχέδωρον ἧκε.
Κύκνος δὲ Ἄρεος καὶ Πυρήνης εἰς μονομαχίαν αὐτὸν
προεκαλεῖτο. Ἄρεος δὲ τοῦτον ἐκδικοῦντος καὶ συν-
ιστάντος μονομαχίαν, βληθεὶς κεραυνὸς μέσος ἀμφοτέρων
διαλύει τὴν μάχην. βαδίζων δὲ δι' Ἰλλυριῶν, καὶ σπεύ-
δων ἐπὶ ποταμὸν Ἠριδανόν, ἧκε πρὸς νύμφας Διὸς
4 καὶ Θέμιδος. αὗται μηνύουσιν αὐτῷ Νηρέα. συλλαβὼν 115
δὲ αὐτὸν κοιμώμενον καὶ παντοίας ἐναλλάσσοντα μορ-
φὰς ἔδησε, καὶ οὐκ ἔλυσε πρὶν ἢ μαθεῖν παρ' αὐτοῦ

1. *προσδεχόμενος* **schol. Hom. Θ 368** 2. *ἑνδέκατον ἐπέταξεν ἆθλον αὐτῷ* (quod recepit *Hr.*) *τὸν Κέρβερον ἐξ Ἅιδου κομίζειν* schol. Hom. (conf. *E. Bethe*, Quaest. Diod. mythogr. p. 43) 3. *ἑσπερίδων* R Pedias. 28: *ἑσπερίων* A *κομίσων* R (compend.) A, corr. *Aeg.* 4. *τινες*] **R fol. 28^r** 5 s. *ἃ Διὶ γήμαντι Ἥρα ἐδωρήσατο* A (Tzetz. Chil. II 358 s.), del. *Hr.*, sed conf. [Eratosth.] Catast. 3 et **schol. Apoll. Rhod. IV 1396** fin.: *ὅτι τῷ Διὶ γαμοῦντι Ἥραν δῶρα τὰ χρυσᾶ μῆλα ἐπὶ τῷ ὠκεανῷ ἀναδέδωκεν ἡ Γῆ, Φερεκύδης ἐν β̄ φησίν* (frg. 33), unde nostrum locum correxit *Valckenarius* *; haud scio an etiam *γαμοῦντι* pro *γήμαντι* recipiendum sit. *ἃ γαμηθείσῃ Διὶ Ἥρᾳ Γῆ ἐδωρήσατο* proposuerat *He.* 9. *ἐρυθεία B*: *ἐρυθία* R *C* *ἑστία ἐρέθουσα* A: *Ἑσπερία Ἀρέθουσα Gal. Aeg.*, *Ἑσπερέθουσα H. Steuding* in Roscheri lex. myth. I p. 2594 12. *προεκαλεῖτο* RR^a: *προυκαλεῖτο* post *προεκαλεῖτο* lacunam brevi certaminis enarratione explendam statuit *W. Gemoll* Fleckeis. ann. 1882 p. 465 14. *δὲ* add. R *σπεύδων Aeg.*: *φεύγων* A 17. *ἐναλλάσσοντα* R: *ἐναλλάσσαντα* A

*ποῦ τυγχάνοιεν τὰ μῆλα καὶ αἱ Ἑσπερίδες. μαθὼν δὲ
Λιβύην διεξῄει. ταύτης ἐβασίλευε παῖς Ποσειδῶνος* 5
*Ἀνταῖος, ὃς τοὺς ξένους ἀναγκάζων παλαίειν ἀνῄρει.
τούτῳ παλαίειν ἀναγκαζόμενος Ἡρακλῆς ἀράμενος ἅμμασι
μετέωρον κλάσας ἀπέκτεινε· ψαύοντα γὰρ γῆς ἰσχυρό-
τερον συνέβαινε γίνεσθαι, διὸ καὶ Γῆς τινες ἔφασαν
τοῦτον εἶναι παῖδα.*
116 *μετὰ Λιβύην δὲ Αἴγυπτον διεξῄει. ταύτης ἐβασί-* 6
*λευε Βούσιρις Ποσειδῶνος παῖς καὶ Λυσιανάσσης τῆς
Ἐπάφου. οὗτος τοὺς ξένους ἔθυεν ἐπὶ βωμῷ Διὸς κατά
τι λόγιον· ἐννέα γὰρ ἔτη ἀφορία τὴν Αἴγυπτον κατ-
έλαβε, Φράσιος δὲ ἐλθὼν ἐκ Κύπρου, μάντις τὴν ἐπι-
στήμην, ἔφη τὴν ἀφορίαν παύσασθαι ἐὰν ξένον ἄνδρα*
117 *τῷ Διὶ σφάξωσι κατ' ἔτος. Βούσιρις δὲ ἐκεῖνον πρῶ-* 7
*τον σφάξας τὸν μάντιν τοὺς κατιόντας ξένους ἔσφαζε.
συλληφθεὶς οὖν καὶ Ἡρακλῆς τοῖς βωμοῖς προσεφέρετο
τὰ δὲ δεσμὰ διαρρήξας τόν τε Βούσιριν καὶ τὸν ἐκείνου
παῖδα Ἀμφιδάμαντα ἀπέκτεινε.*
118 *διεξιὼν δὲ Ἀσίαν Θερμυδραῖς, Λινδίων λιμένι,* 8
*προσίσχει. καὶ βοηλάτου τινὸς λύσας τὸν ἕτερον τῶν
ταύρων ἀπὸ τῆς ἁμάξης εὐωχεῖτο θύσας. ὁ δὲ βοηλάτης
βοηθεῖν ἑαυτῷ μὴ δυνάμενος στὰς ἐπί τινος ὄρους κατ-*

3. οὓς R *παλαίειν*] *αὐτῷ* add. schol. Plat. Legg. VII p. 796 a 4. *ἅμμασι* R: *ὄμμασι* A 4 s. *μετέωρον ἅμμασι* schol. Plat. *Hr.* 5. *ἰσχυρότερον* R: *ἰσχυρότατον* A 6. *συνέβαινε* R schol. Plat.: *συνέβη* A 8. *ἐξῄει* A, corr. *Fab.* 9. *λυσιανάσσης* E: *λυσσιανάσσης* A 12. *φράσιος* *A: *φράγιος* E *Θράσιος* (Ovid. A. A. I 649, *Thasius* Hyg. fab. 56 cod. F) *Aeg.* 15. *κατιόντας* E A: *παριόντας* *Hr.* 18. *Ἀμφιδάμαντα* E A: *Ἰφιδάμαντα* Pherecyd. in schol. Apoll. Rhod. 19. — p. 87, 2 *διεξιὼν* — *πράττουσι* del. *He.* (conf. II 153); Tzetz. Chil. II 385 ss. haec in reditu Herculis accidisse refert 19. *ἀσίαν* E R: *ἀσίας* A *λινδίων* E R: *λωδίων* A

ηρᾶτο. διὸ καὶ νῦν, ἐπειδὰν θύωσιν Ἡρακλεῖ, μετὰ
καταρῶν τοῦτο πράττουσι.
9 παριὼν δὲ Ἀραβίαν Ἠμαθίωνα κτείνει παῖδα Τιθω- 119
νοῦ. καὶ διὰ τῆς Λιβύης πορευθεὶς ἐπὶ τὴν ἔξω θάλασ-
10 σαν παρ' Ἡλίου τὸ δέπας καταλαμβάνει. καὶ περαιω-
θεὶς ἐπὶ τὴν ἤπειρον τὴν ἀντικρὺ κατετόξευσεν ἐπὶ
τοῦ Καυκάσου τὸν ἐσθίοντα τὸ τοῦ Προμηθέως ἧπαρ
ἀετόν, ὄντα Ἐχίδνης καὶ Τυφῶνος· καὶ τὸν Προμηθέα
ἔλυσε, δεσμὸν ἑλόμενος τὸν τῆς ἐλαίας, καὶ παρέσχε τῷ
Διὶ Χείρωνα θνήσκειν ἀντ' αὐτοῦ θέλοντα.
11 ὡς δὲ ἧκεν εἰς Ὑπερβορέους πρὸς Ἄτλαντα, εἰπόν- 120
τος Προμηθέως τῷ Ἡρακλεῖ αὐτὸν ἐπὶ τὰ μῆλα μὴ
πορεύεσθαι, διαδεξάμενον δὲ Ἄτλαντος τὸν πόλον ἀπο-
στέλλειν ἐκεῖνον, πεισθεὶς διεδέξατο. Ἄτλας δὲ δρεψά-
μενος παρ' Ἑσπερίδων τρία μῆλα ἧκε πρὸς Ἡρακλέα.
καὶ μὴ βουλόμενος τὸν πόλον ἔχειν ... καὶ σπεῖραν ἐπὶ
12 τῆς κεφαλῆς θέλειν ποιήσασθαι. τοῦτο ἀκούσας Ἄτλας,
ἐπὶ γῆς καταθεὶς τὰ μῆλα τὸν πόλον διεδέξατο. καὶ
οὕτως ἀνελόμενος αὐτὰ Ἡρακλῆς ἀπηλλάττετο. ἔνιοι 121
δέ φασιν οὐ παρὰ Ἄτλαντος αὐτὰ λαβεῖν, ἀλλ' αὐτὸν

4. *Λιβύης* A: *Λυδίας W. Gemoll*, qui *τὴν ἔξω θάλασσαν* Pontum Euxinum significare contendit (Fleckeis. ann. 1882 p. 465) 5. *παρ' Ἡλίου Robertus* de Apollod. bibl. p. 47 s. (conf. Pherecyd. l. l.: *λαβὼν χρυσοῦν δέπας παρ' Ἡλίου*): *καταπλεῖ οὗ* A *λαμβάνει Hr.* 7. *καυκασίου* E A, corr. *Aeg.* 8. *ἀετὸν* E Pedias. 29: *αἰετὸν* A *τυφῶνος* E: *τυφῶνος ὃς* A 9. *διέλυσε* A, corr. *Br.* 10. *θνήσκειν* *E: *θνήσκειν ἀθάνατον* A (conf. Comm. Ribb. p. 146) 14. *πεισθεὶς*] *δὲ* add. A, del. *He.* 16. lacunam indicavit *Gal.* coll. schol. Apoll. Rhod. l. l.: *τὰ μὲν μῆλα αὐτός φησιν ἀποίσειν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἔχειν ἀντ' αὐτοῦ. ὁ δὲ Ἡρακλῆς ὑποσχόμενος δόλῳ ἀντεπέθηκεν αὐτὸν τῷ Ἄτλαντι. ἣν γὰρ εἰπὼν αὐτῷ ὁ Προμηθεὺς ὑποθέμενος κελεύειν δέξασθαι τὸν οὐρανόν, ἕως οὗ σπεῖραν ἐπὶ τὴν κεφαλὴν ποιήσηται*

*δρέψασθαι τὰ μῆλα, κτείναντα τὸν φρουροῦντα ὄφιν.
κομίσας δὲ τὰ μῆλα Εὐρυσθεῖ ἔδωκεν. ὁ δὲ λαβὼν* 13
*Ἡρακλεῖ ἐδωρήσατο· παρ' οὗ λαβοῦσα Ἀθηνᾶ πάλιν
αὐτὰ ἀπεκόμισεν· ὅσιον γὰρ οὐκ ἦν αὐτὰ τεθῆναί που.*
122 *δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅιδου κομί-* 12
*ζειν. εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ
οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν
ὄφεων κεφαλάς. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι ἦλθε* 2
*πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι
[ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι, ἐπειδήπερ θετὸς
Πυλίου παῖς γενόμενος ἐμυεῖτο]. μὴ δυνάμενος δὲ* 3
*ἰδεῖν τὰ μυστήρια ἐπείπερ οὐκ ἦν ἡγνισμένος τὸν Κεν-
ταύρων φόνον, ἁγνισθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη.*
123 *καὶ παραγενόμενος ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ
τῆς ⟨εἰς⟩ Ἅιδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τού-
του ἐπῄει. ὁπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαί, χωρὶς* 4
*Μελεάγρου καὶ Μεδούσης τῆς Γοργόνος ἔφυγον. ἐπὶ
δὲ τὴν Γοργόνα τὸ ξίφος ὡς ζῶσαν ἕλκει, καὶ παρὰ*
124 *Ἑρμοῦ μανθάνει ὅτι κενὸν εἴδωλόν ἐστι. πλησίον δὲ* 5
*τῶν Ἅιδου πυλῶν γενόμενος Θησέα εὗρε καὶ Πειρί-
θουν τὸν Περσεφόνης μνηστευόμενον γάμον καὶ διὰ
τοῦτο δεθέντα. θεασάμενοι δὲ Ἡρακλέα τὰς χεῖρας
ὤρεγον ὡς ἀναστησόμενοι διὰ τῆς ἐκείνου βίας. ὁ δὲ* 6

4. *τεθῆναι* E A: *μετατεθῆναι* Pedias. 29 *Clavierius* *που* E A Pedias. 29: *ποι* *Hr.* 7. *δράκοντος* E A Pedias. schol. Plat. Polit. IX 588 c: *δράκοντα* *Br.* 9. *εἰς*] **R fol. 28ᵛ** *εἰς* E **schol. Hom. Θ 368** (cod. Ven. A interpol.): *πρὸς* A Pedias. 10 s. *ἦν δὲ — ἐμυεῖτο* A schol. Hom., bene omisit E *He.* 10. *θέτος* R: *θέστιος* A *θυέστης ὁ* schol. Hom. 11. *παραγενόμενος* schol. *Hom.* 12. *κενταύρων* E schol. Hom.: *κενταύρου* A 15. *εἰς* om. E A schol. Hom., add. *He.* 16. *ἐπῄει* * (scil. Cerbero) E: *ἀπῄει* A *κατῄει* schol. Hom. *He.* 21. *μνηστευόμενον* E A: *μνηστευσάμενον* *Hr.* 22. *δεθέντα* E A: *δεθέντας* *He.*

*Θησέα μὲν λαβόμενος τῆς χειρὸς ἤγειρε, Πειρίθουν δὲ
ἀναστῆσαι βουλόμενος τῆς γῆς κινουμένης ἀφῆκεν.
7 ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον. βουλόμενος* 125
*δὲ αἷμα ταῖς ψυχαῖς παρασχέσθαι, μίαν τῶν Ἅιδου
βοῶν ἀπέσφαξεν. ὁ δὲ νέμων αὐτὰς Μενοίτης ὁ Κευ-
θωνύμου προκαλεσάμενος εἰς πάλην Ἡρακλέα, ληφθεὶς
μέσος καὶ τὰς πλευρὰς κατεαγεὶς ὑπὸ Περσεφόνης παρῃ-
8 τήθη. αἰτοῦντος δὲ αὐτοῦ Πλούτωνα τὸν Κέρβερον,
ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὧν εἶχεν ὅπλων κρα-
τοῦντα. ὁ δὲ εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέ-* 126
*ροντος, τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ λεοντῇ
συσκεπασθείς, περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας οὐκ
ἀνῆκε κρατῶν καὶ ἄγχων τὸ θηρίον, ἕως ἔπεισε, καίπερ
9 δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος. συλ-
λαβὼν οὖν αὐτὸν ἧκε διὰ Τροιζῆνος ποιησάμενος τὴν
ἀνάβασιν. Ἀσκάλαφον μὲν οὖν Δημήτηρ ἐποίησεν ὦτον,
Ἡρακλῆς δὲ Εὐρυσθεῖ δείξας τὸν Κέρβερον πάλιν ἐκό-
μισεν εἰς Ἅιδου.*

6 *μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς ἀφικόμενος εἰς Θή-* 127
*βας Μεγάραν μὲν ἔδωκεν Ἰολάῳ, αὐτὸς δὲ γῆμαι θέλων
ἐπυνθάνετο Εὔρυτον Οἰχαλίας δυνάστην ἆθλον προ-
τεθεικέναι τὸν Ἰόλης τῆς θυγατρὸς γάμον τῷ νική-*

5. ὁ *Κευθωνύμου* ex Tzetz. Chil. II 397 *Aeg.* ὁ κυθωνύμου E: σκυθωνύμου RR^a *B* σκυθώνυμον *C* 6. προσκαλεσάμενος EA, corr. *Fab.* 7. μέσον EA, corr. *Fab.* κατεαγεὶς E: κατεάξας A 12. συσκεπασθεὶς E, καὶ add. A 12 ss. οὐκ ἀνῆκε — δράκοντος *E (conf. Comm. Ribb. p. 147): οὐκ ἀνῆκε, καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος, κρατῶν ἐκ τοῦ τραχήλου καὶ ἄγχων τὸ θηρίον ἔπεισε, (ἐπίεσε Gal.) A; κρατῶν — ἔπεισε del. *Hr.* καίπερ δακνόμενος οὐκ ἀνῆκεν, ἀλλ' ἄγχων, τὸ θηρίον διὰ Τροιζῆνος . . . Pedias. 32 16. ὦτον *Aeg.*: ὄνον EA 21. Εὔρυτον om. *B* προτεθεικέναι *E: προτεθῆναι RR^a *B*: προτεθεῖναι *C*

σαντι τοξικῇ αὐτόν τε καὶ τοὺς παῖδας αὐτῷ ὑπάρ-
128 χοντας. ἀφικόμενος οὖν εἰς Οἰχαλίαν καὶ τῇ τοξικῇ 2
κρείττων αὐτῶν γενόμενος οὐκ ἔτυχε τοῦ γάμου, Ἰφίτου μὲν τοῦ πρεσβυτέρου τῶν παίδων λέγοντος διδόναι τῷ Ἡρακλεῖ τὴν Ἰόλην, Εὐρύτου δὲ καὶ τῶν λοιπῶν ἀπαγορευόντων καὶ δεδοικέναι λεγόντων μὴ τεκνοποι-
129 ησάμενος τὰ γεννηθησόμενα πάλιν ἀποκτείνῃ. μετ' οὐ 2
πολὺ δὲ κλαπεισῶν ἐξ Εὐβοίας ὑπὸ Αὐτολύκου βοῶν, Εὔρυτος μὲν ἐνόμιζεν ὑφ' Ἡρακλέους γεγονέναι τοῦτο, Ἴφιτος δὲ ἀπιστῶν ἀφικνεῖται πρὸς Ἡρακλέα, καὶ συντυχὼν ἥκοντι ἐκ Φερῶν αὐτῷ, σεσωκότι τὴν ἀποθανοῦσαν Ἄλκηστιν Ἀδμήτῳ, παρακαλεῖ συζητῆσαι τὰς βόας. Ἡρακλῆς δὲ ὑπισχνεῖται· καὶ ξενίζει μὲν αὐτόν, 2
μανεὶς δὲ αὖθις ἀπὸ τῶν Τιρυνθίων ἔρριψεν αὐτὸν
130 τειχῶν. καθαρθῆναι δὲ θέλων τὸν φόνον ἀφικνεῖται
πρὸς Νηλέα· Πυλίων ἦν οὗτος δυνάστης. ἀπωσαμένου 3
δὲ Νηλέως αὐτὸν διὰ τὴν πρὸς Εὔρυτον φιλίαν, εἰς Ἀμύκλας παραγενόμενος ὑπὸ Δηιφόβου τοῦ Ἱππολύτου καθαίρεται. κατασχεθεὶς δὲ δεινῇ νόσῳ διὰ τὸν Ἰφίτου φόνον, εἰς Δελφοὺς παραγενόμενος ἀπαλλαγὴν ἐπυνθάνετο τῆς νόσου. μὴ χρησμῳδούσης δὲ αὐτῷ τῆς 4
Πυθίας τόν τε ναὸν συλᾶν ἤθελε, καὶ τὸν τρίποδα βαστάσας κατασκευάζειν μαντεῖον ἴδιον. μαχομένου δὲ αὐ-
131 τῷ Ἀπόλλωνος, ὁ Ζεὺς ἵησι μέσον αὐτῶν κεραυνόν. καὶ 5
τοῦτον διαλυθέντων τὸν τρόπον, λαμβάνει χρησμὸν Ἡρακλῆς, ὃς ἔλεγεν ἀπαλλαγὴν αὐτῷ τῆς νόσου ἔσεσθαι πραθέντι καὶ τρία ἔτη λατρεύσαντι καὶ δόντι

1. τοξικῇ E: τοξικὴν A παῖδας A: τοὺς add. *Hr.*
7. γεννηθησόμενα *E: γενησόμενα R γεννησόμενα A 11. φερῶν R: φορῶν A 18. ἀμύκας R 19. δὲ add. ER
22. ναὸν EA 23. κατασκευάζειν E: κατασκευάζει A
27. παραθέντι *B*

3 ποινὴν τοῦ φόνου τὴν τιμὴν Εὐρύτῳ. τοῦ δὲ χρησμοῦ
δοθέντος Ἑρμῆς Ἡρακλέα πιπράσκει· καὶ αὐτὸν ὠνεῖται
Ὀμφάλη Ἰαρδάνου, βασιλεύουσα Λυδῶν, ᾗ τὴν ἡγε-
μονίαν τελευτῶν ὁ γήμας Τμῶλος κατέλιπε. τὴν μὲν 182
2 οὖν τιμὴν κομισθεῖσαν Εὔρυτος οὐ προσεδέξατο, Ἡρα-
κλῆς δὲ Ὀμφάλῃ δουλεύων τοὺς μὲν περὶ τὴν Ἔφεσον
Κέρκωπας συλλαβὼν ἔδησε, Συλέα δὲ ἐν Αὐλίδι τοὺς
παριόντας ξένους σκάπτειν ἀναγκάζοντα, σὺν ταῖς ῥίζαις
τὰς ἀμπέλους καύσας μετὰ τῆς θυγατρὸς Ξενοδόκης
3 ἀπέκτεινε. καὶ προσσχὼν νήσῳ Δολίχῃ, τὸ Ἰκάρου
σῶμα ἰδὼν τοῖς αἰγιαλοῖς προσφερόμενον ἔθαψε, καὶ
τὴν νῆσον ἀντὶ Δολίχης Ἰκαρίαν ἐκάλεσεν. ἀντὶ τού- 183
του Δαίδαλος ἐν Πίσῃ εἰκόνα παραπλησίαν κατεσκεύασεν
Ἡρακλεῖ· ἣν νυκτὸς ἀγνοήσας Ἡρακλῆς λίθῳ βαλὼν
4 ὡς ἔμπνουν ἔπληξε. καθ' ὃν δὲ χρόνον ἐλάτρευε παρ'
Ὀμφάλῃ, λέγεται τὸν ἐπὶ Κόλχους πλοῦν γενέσθαι καὶ
τὴν τοῦ Καλυδωνίου κάπρου θήραν, καὶ Θησέα παρα-
γενόμενον ἐκ Τροιζῆνος τὸν Ἰσθμὸν καθᾶραι.

4 μετὰ δὲ τὴν λατρείαν ἀπαλλαγεὶς τῆς νόσου ἐπὶ 184
Ἴλιον ἔπλει πεντηκοντόροις ὀκτωκαίδεκα, συναθροίσας
στρατὸν ἀνδρῶν ἀρίστων ἑκουσίως θελόντων στρατεύε-
σθαι. καταπλεύσας δὲ εἰς Ἴλιον τὴν μὲν τῶν νεῶν
φυλακὴν Ὀικλεῖ κατέλιπεν, αὐτὸς δὲ μετὰ τῶν ἄλλων
2 ἀριστέων ὥρμα ἐπὶ τὴν πόλιν. παραγενόμενος δὲ ἐπὶ
τὰς ναῦς σὺν τῷ πλήθει Λαομέδων Ὀικλέα μὲν ἀπ-

3. *ἰαρδάνου* R (man. 2) **Tzetz. Chil. II 430:** *ἰορδάνου* E A 7. *Αὐλίδι* E A: *Φύλλιδι* *Hr.*, *Αὐλαῖς* *Wesselingius*, *αὐλῶνι* vel *ἀμπελῶνι* (Diod. IV 31, 7 Tzetz. 433) *He.* 8. *παριόντας*] **explic. R fol. 28ᵛ** 9. *καύσας* *E: *σκάψας* A, *σπάσας* *Meinekius* (*ἀνασπᾷ* Tzetz. v. 435) *Ξενοδόκης* *E *C*: *Ξενοδίκης* R[a] *B* Tzetz. v. 434 10. *προσχὼν* A, corr. *He.* 13. *πίσσῃ* A, corr. *Gal.* 18. *καθῆραι* *Hr.* 20. *ὀκτωκαίδεκα*] conf. Diod. IV 32, 2

ἔκτεινε μαχόμενον, ἀπελαθεὶς δὲ ὑπὸ τῶν μετὰ Ἡρα-
185 κλέους ἐπολιορκεῖτο. τῆς δὲ πολιορκίας ἐνεστώσης
ῥήξας τὸ τεῖχος Τελαμὼν πρῶτος εἰσῆλθεν εἰς τὴν πόλιν,
καὶ μετὰ τοῦτον Ἡρακλῆς. ὡς δὲ ἐθεάσατο Τελαμῶνα 3
πρῶτον εἰσεληλυθότα, σπασάμενος τὸ ξίφος ἐπ' αὐτὸν
ᾔει, μηδένα θέλων ἑαυτοῦ κρείττονα νομίζεσθαι. συν-
ιδὼν δὲ τοῦτο Τελαμὼν λίθους πλησίον κειμένους
συνήθροιζε, τοῦ δὲ ἐρομένου τί πράττοι βωμὸν εἶπεν
186 Ἡρακλέους κατασκευάζειν καλλινίκου. ὁ δὲ ἐπαινέσας, 4
ὡς εἷλε τὴν πόλιν, κατατοξεύσας Λαομέδοντα καὶ τοὺς
παῖδας αὐτοῦ χωρὶς Ποδάρκου, Τελαμῶνι ἀριστεῖον
Ἡσιόνην τὴν Λαομέδοντος θυγατέρα δίδωσι, καὶ ταύτῃ
συγχωρεῖ τῶν αἰχμαλώτων ὃν ἤθελεν ἄγεσθαι. τῆς δὲ 5
αἱρουμένης τὸν ἀδελφὸν Ποδάρκην, ἔφη δεῖν πρῶτον
αὐτὸν δοῦλον γενέσθαι, καὶ τότε τί ποτε δοῦσαν ἀντ'
αὐτοῦ λαβεῖν αὐτόν. ἡ δὲ πιπρασκομένου τὴν κα-
λύπτραν ἀφελομένη τῆς κεφαλῆς ἀντέδωκεν· ὅθεν Πο-
δάρκης Πρίαμος ἐκλήθη.
187 πλέοντος δὲ ἀπὸ Τροίας Ἡρακλέους Ἥρα χαλεποὺς 7
ἔπεμψε χειμῶνας· ἐφ' οἷς ἀγανακτήσας Ζεὺς ἐκρέμασεν
αὐτὴν ἐξ Ὀλύμπου. προσέπλει δὲ Ἡρακλῆς τῇ Κῷ· καὶ
νομίσαντες αὐτὸν οἱ Κῷοι λῃστρικὸν ἄγειν στόλον,
188 βάλλοντες λίθοις προσπλεῖν ἐκώλυον. ὁ δὲ βιασάμενος 2
αὐτὴν νυκτὸς εἷλε, καὶ τὸν βασιλέα Εὐρύπυλον, Ἀστυ-
παλαίας παῖδα καὶ Ποσειδῶνος, ἔκτεινεν. ἐτρώθη δὲ
κατὰ τὴν μάχην Ἡρακλῆς ὑπὸ Χαλκώδοντος, καὶ Διὸς

1. ἀπελαθεὶς Rª: ἀπελασθεὶς A 6. ᾔει A: ὥρμα E 7. δὲ add. ERª λίθους πλησίον E: πλησίον λίθους A 8. πράττοι E: πράττοιε A 15 s. δοῦσαν ἀντ' αὐτοῦ E: δοῦσ' ἀντ' αὐτῶν A 20. ἔπεμψε EA: ἐπέπεμψε *He.* 24. τὴν νύκτα A: αὐτὴν *Mitscherlichius*, αὐτὴν νυκτὸς * restitui (τὴν ἀκτὴν *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429, τὴν πόλιν *He.*)

ἐξαρπάσαντος αὐτὸν οὐδὲν ἔπαθε. πορθήσας δὲ Κῶ
ἧκε δι' Ἀθηνᾶν εἰς Φλέγραν, καὶ μετὰ θεῶν κατεπολέ-
μησε Γίγαντας.

2 μετ' οὐ πολὺ δὲ ἐπ' Αὐγείαν ἐστρατεύετο, συνα- 139
θροίσας Ἀρκαδικὸν στρατὸν καὶ παραλαβὼν ἐθελοντὰς
2 τῶν ἀπὸ τῆς Ἑλλάδος ἀριστέων. Αὐγείας δὲ τὸν ἀφ'
Ἡρακλέους πόλεμον ἀκούων κατέστησεν Ἠλείων στρα-
τηγοὺς Εὔρυτον καὶ Κτέατον συμφυεῖς, οἳ δυνάμει
τοὺς τότε ἀνθρώπους ὑπερέβαλλον, παῖδες δὲ ἦσαν
Μολιόνης καὶ Ἄκτορος, ἐλέγοντο δὲ Ποσειδῶνος· Ἄκτωρ
3 δὲ ἀδελφὸς ἦν Αὐγείου. συνέβη δὲ Ἡρακλεῖ κατὰ τὴν 140
στρατείαν νοσῆσαι· διὰ τοῦτο καὶ σπονδὰς πρὸς τοὺς
Μολιονίδας ἐποιήσατο. οἱ δὲ ὕστερον ἐπιγνόντες αὐτὸν
νοσοῦντα, ἐπιτίθενται τῷ στρατεύματι καὶ κτείνουσι
4 πολλούς. τότε μὲν οὖν ἀνεχώρησεν Ἡρακλῆς· αὖθις
δὲ τῆς τρίτης ἰσθμιάδος τελουμένης, Ἠλείων τοὺς
Μολιονίδας πεμψάντων συνθύτας, ἐν Κλεωναῖς ἐνε-
δρεύσας τούτους Ἡρακλῆς ἀπέκτεινε, καὶ στρατευσά-
5 μενος ἐπὶ τὴν Ἦλιν εἷλε τὴν πόλιν. καὶ κτείνας μετὰ 141
τῶν παίδων Αὐγείαν κατήγαγε Φυλέα, καὶ τούτῳ τὴν
βασιλείαν ἔδωκεν. ἔθηκε δὲ καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα,
Πέλοπός τε βωμὸν ἱδρύσατο, καὶ θεῶν δώδεκα βωμοὺς
ἓξ ἐδείματο.

3 μετὰ δὲ τὴν τῆς Ἤλιδος ἅλωσιν ἐστράτευσεν ἐπὶ 142
Πύλον, καὶ τὴν πόλιν ἑλὼν Περικλύμενον κτείνει τὸν
ἀλκιμώτατον τῶν Νηλέως παίδων, ὃς μεταβάλλων τὰς
μορφὰς ἐμάχετο. τὸν δὲ Νηλέα καὶ τοὺς παῖδας αὐτοῦ

1. ἔπαθε πλέον *Hr.* 2. Ἀθηνᾶς *Gal.* 4 ss. Αὐγείαν ubique E: Αὐγέαν plerumque A 6. τῶν] ἀστῶν add. A, del. *He.* 10. μολιόνης E: μολίνης A 15. οὖν E: οὖν οὐκ A 23. ἓξ *Arnaldus*: ἑξῆς A 24. τὴν * add. E

χωρὶς Νέστορος ἀπέκτεινεν· οὗτος δὲ νέος ὢν παρὰ
Γερηνίοις ἐτρέφετο. κατὰ δὲ τὴν μάχην καὶ Ἅιδην
ἔτρωσε Πυλίοις βοηθοῦντα.
143 ἑλὼν δὲ τὴν Πύλον ἐστράτευεν ἐπὶ Λακεδαίμονα, 2
μετελθεῖν τοὺς Ἱπποκόωντος παῖδας θέλων· ὠργίζετο
μὲν γὰρ αὐτοῖς καὶ διότι Νηλεῖ συνεμάχησαν, μᾶλλον
δὲ ὠργίσθη ὅτι τὸν Λικυμνίου παῖδα ἀπέκτειναν.
θεωμένου γὰρ αὐτοῦ τὰ Ἱπποκόωντος βασίλεια, ἐκδρα- 3
μὼν κύων τῶν Μολοττικῶν ἐπ' αὐτὸν ἐφέρετο· ὁ δὲ
βαλὼν λίθον ἐπέτυχε τοῦ κυνός, ἐκτροχάσαντες δὲ οἱ
Ἱπποκοωντίδαι καὶ τύπτοντες αὐτὸν τοῖς σκυτάλοις
144 ἀπέκτειναν. τὸν δὲ τούτου θάνατον ἐκδικῶν στρατιὰν 4
ἐπὶ Λακεδαιμονίους συνήθροιζε. καὶ παραγενόμενος
εἰς Ἀρκαδίαν ἠξίου Κηφέα μετὰ τῶν παίδων ὧν εἶχεν
εἴκοσι συμμαχεῖν. δεδιὼς δὲ Κηφεὺς μὴ καταλιπόντος
αὐτοῦ Τεγέαν Ἀργεῖοι ἐπιστρατεύσωνται, τὴν στρατείαν
ἠρνεῖτο. Ἡρακλῆς δὲ παρ' Ἀθηνᾶς λαβὼν ἐν ὑδρίᾳ 5
χαλκῇ βόστρυχον Γοργόνος Στερόπῃ τῇ Κηφέως θυγα-
τρὶ δίδωσιν, εἰπών, ἐὰν ἐπίῃ στρατός, τρὶς ἀνασχούσης
⟨ἐκ⟩ τῶν τειχῶν τὸν βόστρυχον καὶ μὴ προϊδούσης
145 τροπὴν τῶν πολεμίων ἔσεσθαι. τούτου γενομένου 6
Κηφεὺς μετὰ τῶν παίδων ἐστράτευε. καὶ κατὰ τὴν
μάχην αὐτός τε καὶ οἱ παῖδες αὐτοῦ τελευτῶσι, καὶ
πρὸς τούτοις Ἰφικλῆς ὁ τοῦ Ἡρακλέους ἀδελφός. Ἡρα-
κλῆς δὲ κτείνας τὸν Ἱπποκόωντα καὶ τοὺς παῖδας αὐ-

1. οὗτος γὰρ E 6. καὶ del. *Hr.* 7. παῖδα] Οἰωνὸν add. *He.* 9. Μολοττικῶν *Aeg.*: μολπικῶν A 12. ἐκδικήσων *Hr.* στρατείαν A, corr. *He.*: στρατὸν E 13. λακεδαιμονίους *E: λακεδαιμονίαν A 16. τέγεαν A ἐπιστρατεύσονται A, corr. *Aeg.* 18. χαλκῇ E: χαλκοῦς A στερόπῃ EA: Ἀερόπῃ Paus. VIII 44, 7 *He.* 20. ἐκ om. EA, add. *Aeg.* προϊδούσης EA: προσιδούσης *He.* 24. Ἰφικλῆς *E: Ἴφικλος A

τοῦ ⟨καὶ⟩ χειρωσάμενος τὴν πόλιν, Τυνδάρεων κατα-
γαγὼν τὴν βασιλείαν παρέδωκε τούτῳ.
4 παριὼν δὲ Τεγέαν Ἡρακλῆς τὴν Αὔγην Ἀλεοῦ 146
θυγατέρα οὖσαν ἀγνοῶν ἔφθειρεν. ἡ δὲ τεκοῦσα κρύφα
τὸ βρέφος κατέθετο ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς. λοιμῷ
δὲ τῆς χώρας φθειρομένης, Ἀλεὸς εἰσελθὼν εἰς τὸ
τέμενος καὶ ἐρευνήσας τὰς τῆς θυγατρὸς ὠδῖνας εὗρε.
2 τὸ μὲν οὖν βρέφος εἰς τὸ Παρθένιον ὄρος ἐξέθετο.
καὶ τοῦτο κατὰ θεῶν τινα πρόνοιαν ἐσώθη· θηλὴν μὲν 147
γὰρ ἀρτιτόκος ἔλαφος ὑπέσχεν αὐτῷ, ποιμένες δὲ ἀνελό-
3 μενοι τὸ βρέφος Τήλεφον ἐκάλεσαν αὐτό. Αὔγην δὲ
ἔδωκε Ναυπλίῳ τῷ Ποσειδῶνος ὑπερόριον ἀπεμπολῆσαι.
ὁ δὲ Τεύθραντι τῷ Τευθρανίας ἔδωκεν αὐτὴν δυνάστῃ,
κἀκεῖνος γυναῖκα ἐποιήσατο.
5 παραγενόμενος δὲ Ἡρακλῆς εἰς Καλυδῶνα τὴν 148
Οἰνέως θυγατέρα Δηιάνειραν ἐμνηστεύετο, καὶ διαπα-
λαίσας ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς Ἀχελῷον εἰκασμέ-
νον ταύρῳ περιέκλασε τὸ ἕτερον τῶν κεράτων. καὶ τὴν
μὲν Δηιάνειραν γαμεῖ, τὸ δὲ κέρας Ἀχελῷος λαμβάνει,
2 δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας. Ἀμάλθεια δὲ ἦν
Αἱμονίου θυγάτηρ, ἣ κέρας εἶχε ταύρου. τοῦτο δέ, ὡς
Φερεκύδης λέγει, δύναμιν ἔχει τοιαύτην ὥστε βρω-

1. καὶ om. A, add. *Hr.* 3. τέγεαν A 5. λσιμῷ] conieceris λιμῷ coll. III 103 7. καὶ ἐρευνήσας εἰς τὸ τέμενος A, transpos. *He.* εἰς τὸ τέμενος del. *Hr.* 9. τοῦτο] μὲν add. A, del. *He.* 11. αὐτὸ *A: αὐτὸν *Com.* 15. παραγενόμενος δὲ ἡρακλῆς *A: Ἡρ. δὲ παρ. edd. 16. ἐμνηστεύετο EA: ἐμνηστεύσατο arg. Soph. Trach. (ἐκ τῆς Ἀπολλοδώρου βιβλιοθήκης) 17. εἰκασμένον EA: ἀπεικασθέντα arg. Trach. εἰκασθέντα *Hr.* 19. λαμβάνει EA arg. Trach.: καταλαμβάνει *Hr.* 21. Αἱμονίου arg. Trach. Tzetz. Lycophr. 50 *Aeg.*: ἀρμενίου A 22. Pherecyd. frg. 37 22 s. conf. Zenob. II 48 22. ἔχει EA: εἶχε arg. Trach. *Fab.*

τὸν ἢ ποτόν, ὅπερ ⟨ἂν⟩ εὔξαιτό τις, παρέχειν
ἄφθονον.
149 στρατεύει δὲ Ἡρακλῆς μετὰ Καλυδωνίων ἐπὶ Θε- 6
σπρωτούς, καὶ πόλιν ἑλὼν Ἔφυραν, ἧς ἐβασίλευε Φύ-
λας, Ἀστυόχῃ τῇ τούτου θυγατρὶ συνελθὼν πατὴρ
Τληπολέμου γίνεται. διατελῶν δὲ παρ' αὐτοῖς, πέμψας
πρὸς Θέσπιον ἑπτὰ μὲν κατέχειν ἔλεγε παῖδας, τρεῖς δὲ
εἰς Θήβας ἀποστέλλειν, τοὺς δὲ λοιποὺς τεσσαράκοντα
150 πέμπειν εἰς Σαρδὼ τὴν νῆσον ἐπ' ἀποικίαν. γενομέ- 2
νων δὲ τούτων εὐωχούμενος παρ' Οἰνεῖ κονδύλῳ πλήξας
ἀπέκτεινεν Ἀρχιτέλους παῖδα Εὔνομον κατὰ χειρῶν δι-
δόντα· συγγενὴς δὲ Οἰνέως οὗτος. ἀλλ' ὁ μὲν πατὴρ 3
τοῦ παιδός, ἀκουσίως γεγενημένου τοῦ συμβεβηκότος,
συνεγνωμόνει, Ἡρακλῆς δὲ κατὰ τὸν νόμον τὴν φυγὴν
ὑπομένειν ἤθελε, καὶ διέγνω πρὸς Κήυκα εἰς Τραχῖνα
151 ἀπιέναι. ἄγων δὲ Δηιάνειραν ἐπὶ ποταμὸν Εὔηνον 4
ἧκεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος τοὺς
παριόντας διεπόρθμευε μισθοῦ, λέγων παρὰ θεῶν τὴν
πορθμείαν εἰληφέναι διὰ δικαιοσύνην. αὐτὸς μὲν οὖν 5
Ἡρακλῆς τὸν ποταμὸν διήει, Δηιάνειραν δὲ μισθὸν

1. ἂν om. EA, add. arg. Trach. *Hr.* ηὔξετο R[a] 2. ἄπονον arg. Trach. 4. Φύλας arg. Trach. φύδας A: Φυλεύς Diod. IV 36, 1 6. Τληπολέμου arg. Trach.: τριπτολέμου A 10. παρὰ οἰνεῖ arg. Trach. *Hr.*: παρ' οἰνείην καὶ A (παρ' οἰνεῖ ὃν καὶ V, PR[c]LT in marg.) 11. ἀρχιτέλους παῖδας ἔννομον . . . διδόντι A: Εὔνομον τὸν Ἀρχιτέλους παῖδα . . . διδόντα arg. Trach. *Aeg.*; Ἔννομος Tzetz. Lycophr. 50 Chil. II 456 Εὐρύνομος Diod. IV 36, 2 12. ἀλλ' A: καὶ arg. Trach. *Hr.* 14. τὴν om. arg. Trach. *Hr.* 15. δὴ ἔγνω A arg. Trach., corr. *Com.* 17 ss. Νέσσος E: νέσος A arg. Trach. Tzetz. 18. παριόντας arg. Trach. *Aeg.*: παραπλέοντας A Zenob. I 33, τῷ παραπλέοντι E μισθοῦ E μισθῷ arg. Trach.: μισθοῦ δὲ A 20. διήει EAZenob.: διέβη arg. Trach. δηιάνειραν E arg. Trach.: δηιανείρας AZenob.

αἰτηθεὶς ἐπέτρεψε Νέσσῳ διακομίζειν. ὁ δὲ διαπορθ-
μεύων αὐτὴν ἐπεχείρει βιάζεσθαι. τῆς δὲ ἀνακραγού- 152
σης αἰσθόμενος Ἡρακλῆς ἐξελθόντα Νέσσον ἐτόξευσεν
6 εἰς τὴν καρδίαν. ὁ δὲ μέλλων τελευτᾶν προσκαλεσά-
μενος Δηιάνειραν εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρα-
κλέα ἔχειν, τόν τε γόνον ὃν ἀφῆκε κατὰ τῆς γῆς καὶ
τὸ ῥυὲν ἐκ τοῦ τραύματος τῆς ἀκίδος αἷμα συμμῖξαι.
ἡ δὲ ποιήσασα τοῦτο ἐφύλαττε παρ' ἑαυτῇ.
7 διεξιὼν δὲ Ἡρακλῆς τὴν Δρυόπων χώραν, ἀπορῶν 153
τροφῆς, ἀπαντήσαντος Θειοδάμαντος βοηλατοῦντος τὸν
ἕτερον τῶν ταύρων θύσας εὐωχήσατο. ὡς δὲ ἦλθεν
εἰς Τραχῖνα πρὸς Κήυκα, ὑποδεχθεὶς ὑπ' αὐτοῦ Δρύ-
οπας κατεπολέμησεν.
2 αὖθις δὲ ἐκεῖθεν ὁρμηθεὶς Αἰγιμίῳ βασιλεῖ Δωριέων 154
συνεμάχησε· Λαπίθαι γὰρ περὶ γῆς ὅρων ἐπολέμουν
αὐτῷ Κορώνου στρατηγοῦντος, ὁ δὲ πολιορκούμενος
ἐπεκαλέσατο τὸν Ἡρακλέα βοηθὸν ἐπὶ μέρει τῆς γῆς.
βοηθήσας δὲ Ἡρακλῆς ἀπέκτεινε Κόρωνον μετὰ καὶ
ἄλλων, καὶ τὴν γῆν ἅπασαν παρέδωκεν ἐλευθέραν
3 αὐτῷ. ἀπέκτεινε δὲ καὶ Λαογόραν μετὰ τῶν τέκνων, 155
βασιλέα Δρυόπων, ἐν Ἀπόλλωνος τεμένει δαινύμενον,
4 ὑβριστὴν ὄντα καὶ Λαπιθῶν σύμμαχον. παριόντα δὲ

1. *ἐπέτρεψε νέσσῳ* E arg. Trach. Zenob.: *ἐπέτρεψεν ἔσω* R[a] *B*: *ἐπέτρεψεν εἴσω C* 3. *ἐξελθόντα* EA arg. Trach., om. Zenob. *Hr.*, sed conf. Comm. Ribb. p. 143 5. *Δηιάνειραν* add. E arg. Trach. Zenob., om. A *εἶπεν*] incip. R fol. 18r 9. *δριώπων* R 11. *λύσας* EA] *καὶ σφάξας* add. arg. Trach.; *θύσας* * recepi ex schol. Apoll. Rhod. I 1215 (Pherecyd.): *θύσας εὐωχεῖτο* (conf. II 118) 12. *δρύωπας* R 14. *αἰγιλίῳ* RR[a] 16. *κορωνοῦ* A 17. *τὸν* A, om. arg. Trach. *Hr.* 18. *κορωνὸν* A *καὶ* A, om. arg. Trach. 20. *Λαογόραν* R Tzetz. Chil. II 466 *Aeg.*: *λαγόραν* A *ἀλλαγόραν* arg. Trach. 22. *λαπίθων* A

Ἴτωνον εἰς μονομαχίαν προεκαλέσατο αὐτὸν Κύκνος Ἄρεος καὶ Πελοπίας· συστὰς δὲ καὶ τοῦτον ἀπέκτεινεν. ὡς δὲ εἰς Ὀρμένιον ἧκεν, Ἀμύντωρ αὐτὸν ὁ βασιλεὺς μεθ' ὅπλων οὐκ εἴα διέρχεσθαι· κωλυόμενος δὲ παριέναι καὶ τοῦτον ἀπέκτεινεν.

156 ἀφικόμενος δὲ εἰς Τραχῖνα στρατιὰν ἐπ' Οἰχαλίαν 5
συνήθροισεν, Εὔρυτον τιμωρήσασθαι θέλων. συμμαχούντων δὲ αὐτῷ Ἀρκάδων καὶ Μηλιέων τῶν ἐκ Τραχῖνος καὶ Λοκρῶν τῶν Ἐπικνημιδίων, κτείνας μετὰ τῶν
παίδων Εὔρυτον αἱρεῖ τὴν πόλιν. καὶ θάψας τῶν σὺν 6
αὐτῷ στρατευσαμένων τοὺς ἀποθανόντας, Ἵππασόν τε τὸν Κήυκος καὶ Ἀργεῖον καὶ Μέλανα τοὺς Λικυμνίου παῖδας, καὶ λαφυραγωγήσας τὴν πόλιν, ἦγεν Ἰόλην
157 αἰχμάλωτον. καὶ προσορμισθεὶς Κηναίῳ τῆς Εὐβοίας 7
ἐπὶ ἀκρωτηρίου Διὸς Κηναίου βωμὸν ἱδρύσατο. μέλλων δὲ ἱερουργεῖν εἰς Τραχῖνα ⟨Λίχαν⟩ τὸν κήρυκα
ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. παρὰ δὲ τούτου τὰ 8
περὶ τὴν Ἰόλην Δηιάνειρα πυθομένη, καὶ δείσασα μὴ ἐκείνην μᾶλλον ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις

1. Ἴτωνον * (ἰὼν) R Diod. IV 36, 4 (conf. Steph. Byz. s. v. Ἴτων: λέγεται δὲ καὶ Ἴτωνος): ἴων A, Ἴτωνα arg. Trach. edd. προυκαλεῖτο arg. Trach. 2. Πελοπίας A arg. Trach.: Πελοπείας *Hr.* 3 ss. ὡς δὲ — ἀπέκτεινεν om. *C* Ὀρμένιον *Wesselingius* ad Diod. IV 37, 4: ὀρχομενὸν A arg. Trach. 4. μεθ' ὅπλων * add. R arg. Trach. 6. τραχῖνας ER στρατείαν EA arg. Trach., corr. *Brunckius* 7. συνήθροισεν* E arg. Trach.: συνήθροιζεν A 8. Μηλιέων arg. Trach. *Aeg.*: μηνιέων A 9. Ἐπικνημιδίων arg. Trach. *He.*: ἐπικνημίδων A 11. στρατευσαμένων arg. Trach. *Hr.*: στρατευομένων A 14. προσορμισθεὶς E arg. Trach.: προσορμηθεὶς A 15. ἐπὶ ἀκρωτηρίου * restitui: ἐπὶ ἀκρωτήριον A ἐπὶ ἀκροπόλεως E ἀκρωτηρίῳ arg. Trach. *He.* 16. Λίχαν τὸν κήρυκα * *Sommerus*: τὸν κήρυκα E τὸν κήνκα A κήρυκα arg. Trach. 17. τὰ ER arg. Trach. Zenob. I 33: τοὺς A 18. πυθομένη E arg. Trach.: πυνθανομένη R πυνθανομένους A 18 s. μὴ πάλιν ἐκείνην ἀγαπήσῃ arg. Trach. 19. τῇ ἀληθείᾳ arg. Trach.

φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα
9 ἔχρισεν. ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν. ὡς δὲ θερμαν- 158
θέντος τοῦ χιτῶνος ὁ τῆς ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε,
τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος κατηκόντισεν ἀπὸ
τῆς † βοιωτίας, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα
τῷ σώματι· συναπεσπῶντο δὲ καὶ αἱ σάρκες αὐτοῦ.
10 τοιαύτῃ συμφορᾷ κατασχεθεὶς εἰς Τραχῖνα ἐπὶ νεὼς
κομίζεται. Δηιάνειρα δὲ αἰσθομένη τὸ γεγονὸς ἑαυτὴν 159
11 ἀνήρτησεν. Ἡρακλῆς δὲ ἐντειλάμενος Ὕλλῳ, ὃς ἐκ
Δηιανείρας ἦν αὐτῷ παῖς πρεσβύτερος, Ἰόλην ἀν-
δρωθέντα γῆμαι, παραγενόμενος εἰς Οἴτην ὄρος (ἔστι
δὲ τοῦτο Τραχινίων), ἐκεῖ πυρὰν ποιήσας ἐκέλευσεν
ἐπιβὰς ὑφάπτειν. μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλον- 160
12 τος, Ποίας παριὼν κατὰ ζήτησιν ποιμνίων ὑφῆψε. τού-
τῳ καὶ τὰ τόξα ἐδωρήσατο Ἡρακλῆς. καιομένης δὲ
τῆς πυρᾶς λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν
εἰς οὐρανὸν ἀναπέμψαι· ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας
καὶ διαλλαγεὶς Ἥρᾳ τὴν ἐκείνης θυγατέρα Ἥβην ἔγημεν,
ἐξ ἧς αὐτῷ παῖδες Ἀλεξιάρης καὶ Ἀνίκητος ἐγένοντο.
8 ἦσαν δὲ παῖδες αὐτῷ ἐκ μὲν τῶν Θεσπίου θυγατέ- 161
ρων, Πρόκριδος μὲν Ἀντιλέων καὶ Ἱππεύς (ἡ πρεσβυ-
τάτη γὰρ διδύμους ἐγέννησε), Πανόπης δὲ Θρεψίππας,

1. *Νέσσου* E Zenob.: *νέσου* A arg. Trach. 4 s. *ἀπὸ τῆς βοιωτίας* aut delendum est cum *He.*, aut corruptum (*εἰς τὴν θάλασσαν*, quod ex arg. Trach. se supposuisse affirmat *Hr.*, illic non exstat); *ἀπὸ τῆς παρωρείας Westermannus*; exspectaveris *ἀπὸ τῆς ἀκροπόλεως* coll. III 55 6. *καὶ* * add. E Zenob. *αὐτοῦ* * E Zenob.: *αὐτῷ* A 7. *τοιαύτῃ* * E Zenob.: *τοιαύτῃ δὲ* A 12. *ἐκέλευσεν* * E arg. Trach. Zenob.: *ἐκέλευεν* A 13. *ἐπιβὰς* * arg. Trach. Zenob. *Gal.*: *ἐπιβάντος* E A 18. *Ἥρᾳ* E A: *Ἥραν* A 20 ss. de Herculis progenie pauca refert **Hyg. fab. 162.** (Conf. schol. Laur. Soph. Trach. **264**: . . . *ὅτι πολλαῖς πρῴην ὡμίλησεν γυναιξίν, ὡς Ἀπολλόδωρος*) 20. *θεστίου* E A 22. *Θρέψιππος Fab.*, sed conf. *Lobeckium* ad Ai. 604

Λύσης Εὐμήδης, . . . Κρέων, Ἐπιλάϊδος Ἀστυάναξ, 2
Κέρθης Ἰόβης, Εὐρυβίας Πολύλαος, Πατροῦς Ἀρχέ-
162 *μαχος, Μηλίνης Λαομέδων, Κλυτίππης Εὐρύκαπυς,*
Εὐρύπυλος Εὐβώτης, Ἀγλαΐης Ἀντιάδης, Ὀνήσιππος 3
Χρυσηίδος, Ὀρείης Λαομένης, Τέλης Λυσιδίκης, Ἐντε-
λίδης Μενιππίδος, Ἀνθίππης Ἱπποδρόμος, Τελευταγό- 4
ρας Εὐρυ . . ., Καπύλος Ἵππωτος, Εὐβοίας Ὄλυμπος,
Νίκης Νικόδρομος, Ἀργέλης Κλεόλαος, Ἐξόλης Ἐρύ-
163 *θρας, Ξανθίδος Ὁμόλιππος, Στρατονίκης Ἄτρομος,*
Κελευστάνωρ Ἴφιδος, Λαοθόης Ἄντιφος, Ἀντιόπης
Ἀλόπιος, Ἀστυβίης Κλααμήτιδος, Φυληίδος Τίγασις, 5
Αἰσχρηίδος Λευκώνης, Ἀνθείας . . ., Εὐρυπύλης Ἀρχέ-
δικος, Δυνάστης Ἐρατοῦς, Ἀσωπίδος Μέντωρ, Ἠώνης
164 *Ἀμήστριος, Τιφύσης Λυγκαῖος, Ἁλοκράτης Ὀλυμπούσης,*
Ἑλικωνίδος Φαλίας, Ἡσυχείης Οἰστρόβλης, Τερψικρά- 6
της Εὐρυόπης, Ἐλαχείας Βουλεύς, Ἀντίμαχος Νικίπ-

1. *εὐμήδης* R: *εὐμίδης* A lacunam indic. *He.* *ἐπίλαος* A, corr. *Aeg.* 2. *ἰόβης* *R: *δὲ ἰόβης* A, *Δειόβης* edd. *εὐρύβιος* A, corr. *Aeg.* 3. *μηλίνης* *R: *μελίνης* A *κλύτοππος* A, corr. *Com.*; *Κλυτοῦς Hr.*, an *Κλυτόπης?* 4. *ὀνησίπης* R *ὀνησίππης* R[a] *C* *ὀνησίπυς B*, corr. *Aeg.* 5. *λανομένης* A, corr. *He.* *λυσιδίκης* R: *λυσιδίκη* A 5 s. *στεντ̓εδίδης μενιππίδης* A, corr. *C. Keilius* 7. *εὐρυκάπυλος* A: *Εὐρύκης Πύλος Com.*; an *Εὐρύτης?* *ἵππωτος* A: *Ἱππότης He.*, *Ἱππόθοος Fab.*, *Ἵππους Hr.*; an *Ἱπποθόης?* 7 s. *ὀλυμπούσης* A: *Ὄλυμπος Νίκης Aeg.*; *Ὄλυνθος* (Steph. Byz. s. v.) *Gal.*, *Σίδης Hr.* *ἐξόλος* (R?) *B* *ἐξόλος* (η supra) *C*: *Ἴξαλος Br.* *ἐρύθ* R 9. *Ὁμόλιππος*] *Ὁμολώιχος Hr.* *στρατόνικος* A, corr. *Aeg.* 10. *ἴφις* A, corr. *He.* *ἄντιδος* A, corr. *He.* *ἀντίωπης* A, corr. *He.* 11. *κλααμήτιδος* RR[a] *C* *κλαμήτιδος B*: *Καλλιδημίδης Hr.*, an *Καλαμήτιχος? Ἀστυβίας Καλαμήτιδος He.* 12. *Ἀνθείας*] **R fol. 18[v]** lacunam indic. *Aeg.* *ἀρχοδίκου* A, corr. *Aeg.* 13. *ἔρατος* A, corr. *Aeg.* *ἀσωπιδης* A, corr. *He.* *Ἠιόνης He.* 14. *τιφυσῆς* A, fort. *Τιλφούσης* *Λυγκαῖος* A: *Λυγκεὺς Aeg.* 15. *ἡσιοχείης* RR[a] *ἡσιχείης BC* *οἰστρέβλης* A, corr. *L. Dindorfius* 16. *Εὐρύωψ Aeg. He.* *ἐλευχείας* A, corr. *He.*, *Λοχίας Hr.*

7 πης, Πάτροκλος Πυρίππης, Νῆφος Πραξιθέας, Λυσίπ-
πης Ἐράσιππος, Λυκοῦργος Τοξικράτης, Βουκόλος
Μάρσης, Λεύκιππος Εὐρυτέλης, Ἱπποκράτης Ἱππόζυγος.
8 οὗτοι μὲν ἐκ τῶν Θεσπίου θυγατέρων, ἐκ δὲ τῶν ἄλλων, 165
Δηιανείρας ⟨μὲν⟩ τῆς Οἰνέως Ὕλλος Κτήσιππος Γλη-
νὸς Ὀνείτης, ἐκ Μεγάρας δὲ τῆς Κρέοντος Θηρίμαχος
9 Δηικόων Κρεοντιάδης, ἐξ Ὀμφάλης δὲ Ἀγέλαος, ὅθεν
καὶ τὸ Κροίσου γένος. Χαλκιόπης ⟨δὲ⟩ τῆς Εὐρυπύλου 166
10 Θετταλός, Ἐπικάστης τῆς Αὐγέου Θεστάλος, Παρθενό-
πης τῆς Στυμφάλου Εὐήρης, Αὔγης τῆς Ἀλεοῦ Τή-
λεφος, Ἀστυόχης τῆς Φύλαντος Τληπόλεμος, Ἀστυδα-
μείας τῆς Ἀμύντορος Κτήσιππος, Αὐτονόης τῆς Πειρέως
Παλαίμων.

8 μεταστάντος δὲ Ἡρακλέους εἰς θεοὺς οἱ παῖδες 167
αὐτοῦ φυγόντες Εὐρυσθέα πρὸς Κήυκα παρεγένοντο.
ὡς δὲ ἐκείνους ἐκδιδόναι λέγοντος Εὐρυσθέως καὶ
πόλεμον ἀπειλοῦντος ἐδεδοίκεσαν, Τραχῖνα καταλιπόν-
2 τες διὰ τῆς Ἑλλάδος ἔφυγον. διωκόμενοι δὲ ἦλθον
εἰς Ἀθήνας, καὶ καθεσθέντες ἐπὶ τὸν ἐλέου βωμὸν
ἠξίουν βοηθεῖσθαι. Ἀθηναῖοι δὲ οὐκ ἐκδιδόντες αὐ- 168
τοὺς πρὸς τὸν Εὐρυσθέα πόλεμον ὑπέστησαν, καὶ τοὺς
μὲν παῖδας αὐτοῦ· Ἀλέξανδρον Ἰφιμέδοντα Εὐρύβιον

1. πύριππος A, corr. *Aeg.* νηφὸς A 2. Λυκοῦργος] λύκιος add. A, del. *He.* τοξικράτος *B* 3. μάρσας A, corr. *Aeg.* Λευκίππης *Aeg.* 4. θεστίου A, corr. *Aeg.* (duae filiae in catalogo desiderantur, conf. Paus. IX 27, 6) 5. μὲν add. *He.* τῆς RR[a]: τε *BC* 5 s. γληκισονείτης A, corr. *Gal.* (Ὀνήτης *Hr.*) Γληνεὺς Ὀδίτης Diod. IV 37, 1 6. ἐκ del. *Hr.* De Megarae filiis conf. schol. **Pind. Isthm. 4, 104 schol. Hom. λ 269** 7. δηικόων R schol. Pind. et Hom.: δηιοκόων A (Δημοκόων Tzetz. Lycophr. 38) ἐξ del. *Hr.* 8. Κροίσου *Aeg.*: κρησίου A δὲ add. *Hr.* εὐρυπύλης A, corr. *Aeg.* 9. αἰγέου A, corr. *He.* 10. ἀλέου A 12. αὐτονόη R[a] *B* 18 ss.] conf. **Zenob. II 61**

Μέντορα Περιμήδην ἀπέκτειναν· αὐτὸν δὲ Εὐρυσθέα 3
φεύγοντα ἐφ' ἅρματος καὶ πέτρας ἤδη παριππεύοντα
Σκειρωνίδας κτείνει διώξας Ὕλλος, καὶ τὴν κεφαλὴν
ἀποτεμὼν Ἀλκμήνῃ δίδωσιν· ἡ δὲ κερκίσι τοὺς ὀφθαλ-
μοὺς ἐξώρυξεν αὐτοῦ.
169 *ἀπολομένου δὲ Εὐρυσθέως ἐπὶ Πελοπόννησον ἦλ-* 2
θον οἱ Ἡρακλεῖδαι, καὶ πάσας εἷλον τὰς πόλεις. ἐνιαυ-
τοῦ δὲ αὐτοῖς ἐν τῇ καθόδῳ διαγενομένου φθορὰ
πᾶσαν Πελοπόννησον κατέσχε, καὶ ταύτην γενέσθαι
χρησμὸς διὰ τοὺς Ἡρακλείδας ἐδήλου· πρὸ γὰρ τοῦ
δέοντος αὐτοὺς κατελθεῖν. ὅθεν ἀπολιπόντες Πελο- 2
πόννησον ἀνεχώρησαν εἰς Μαραθῶνα κἀκεῖ κατῴκουν.
170 *Τληπόλεμος οὖν κτείνας οὐχ ἑκὼν Λικύμνιον (τῇ*
βακτηρίᾳ γὰρ αὐτοῦ θεράποντα πλήσσοντος ὑπέδραμε)
πρὶν ἐξελθεῖν αὐτοὺς ἐκ Πελοποννήσου, φεύγων μετ'
οὐκ ὀλίγων ἧκεν εἰς Ῥόδον, κἀκεῖ κατῴκει. Ὕλλος δὲ 3
τὴν μὲν Ἰόλην κατὰ τὰς τοῦ πατρὸς ἐντολὰς ἔγημε, τὴν
δὲ κάθοδον ἐζήτει τοῖς Ἡρακλείδαις κατεργάσασθαι.
171 *διὸ παραγενόμενος εἰς Δελφοὺς ἐπυνθάνετο πῶς ἂν*
κατέλθοιεν. ὁ δὲ θεὸς ἔφησε περιμείναντας τὸν τρίτον
καρπὸν κατέρχεσθαι. νομίσας δὲ Ὕλλος τρίτον καρπὸν 4
*λέγεσθαι τὴν τριετίαν, τοσοῦτον *περιμείνας χρόνον*
σὺν τῷ στρατῷ κατῄει . . . τοῦ Ἡρακλέους ἐπὶ Πελο-

3. *Σκειρωνίδας* E: *χειρονίδας* A *τὴν* * E: *τὴν μὲν* A 6 ss. *πελοπόνησον* constanter E *πελλοπόννησον* constanter R 8. *γενομένου φθορὰ* E: *γενομένης φθορᾶς* A; *διαγενομένου* * restitui Epit. Vat. p. 103, ubi vide aliorum coniecturas 12. *ἀνεχώρησαν* ERR[a], O in marg.: *ἦλθον* *BC* 14. *θεραπεύοντα* A, corr. *Fab.* 15. *αὐτὸν* A, corr. *He.* *φεύγων*] *οὖν* add. A, del. *He.* 17. *τὰς* * add. R *ἐντολὰς* *R: *ἐντολὴν* A 20. *ἔφησε* A: *ἔχρησε* *Mendelssohnius* Act. soc. phil. Lips. II p. 452 s. 23. lacunam indicavit *He.* coll. Diod. IV 58, 3 s. (*κατῆγε τοὺς Ἡρακλέους* proposuerat *Fab.*)

πόννησον, Τισαμενοῦ τοῦ Ὀρέστου βασιλεύοντος Πελο-
ποννησίων. καὶ γενομένης πάλιν μάχης νικῶσι Πελο-
5 ποννήσιοι καὶ Ἀριστόμαχος θνήσκει. ἐπεὶ δὲ ἠνδρώ- 172
θησαν οἱ Κλεοδαίου παῖδες, ἐχρῶντο περὶ καθόδου.
τοῦ θεοῦ δὲ εἰπόντος ὅ τι καὶ τὸ πρότερον, Τήμενος
6 ᾐτιᾶτο λέγων τούτῳ πεισθέντας ἀτυχῆσαι. ὁ δὲ θεὸς
ἀνεῖλε τῶν ἀτυχημάτων αὐτοὺς αἰτίους εἶναι· τοὺς γὰρ
χρησμοὺς οὐ συμβάλλειν· λέγειν γὰρ οὐ γῆς ἀλλὰ γενεᾶς
καρπὸν τρίτον, καὶ στενυγρὸν τὸν τὴν εὐρυγάστορα
7 δεξιὰν κατὰ τὸν Ἰσθμὸν ἔχοντα τὴν θάλασσαν. ταῦτα 173
Τήμενος ἀκούσας ἡτοίμαζε τὸν στρατόν, καὶ ναῦς
ἐπήξατο τῆς Λοκρίδος ἔνθα νῦν ἀπ' ἐκείνου ὁ τόπος
Ναύπακτος λέγεται. ἐκεῖ δ' ὄντος τοῦ στρατεύματος
Ἀριστόδημος κεραυνωθεὶς ἀπέθανε, παῖδας καταλιπὼν
ἐξ Ἀργείας τῆς Αὐτεσίωνος διδύμους, Εὐρυσθένη καὶ
3 Προκλέα. συνέβη δὲ καὶ τὸν στρατὸν ἐν Ναυπάκτῳ συμ- 174
φορᾷ περιπεσεῖν. ἐφάνη γὰρ αὐτοῖς μάντις χρησμοὺς
λέγων καὶ ἐνθεάζων, ὃν ἐνόμισαν μάγον εἶναι ἐπὶ
λύμῃ τοῦ στρατοῦ πρὸς Πελοποννησίων ἀπεσταλμένον.
2 τοῦτον βαλὼν ἀκοντίῳ Ἱππότης ὁ Φύλαντος τοῦ Ἀντι-
όχου τοῦ Ἡρακλέους τυχὼν ἀπέκτεινεν. οὕτως δὲ γενο-
μένου τούτου τὸ μὲν ναυτικὸν διαφθαρεισῶν τῶν νεῶν
ἀπώλετο, τὸ δὲ πεζὸν ἠτύχησε λιμῷ, καὶ διελύθη τὸ
3 στράτευμα. χρωμένου δὲ περὶ τῆς συμφορᾶς Τημένου, 175
καὶ τοῦ θεοῦ διὰ τοῦ μάντεως γενέσθαι ταῦτα λέγον-

4. κλεολάου A, corr. *Gal.*, del. *He.* 5 ss. τίμενος A, corr. *Aeg.* 6. πεισθέντας A, corr. *Com.* * 7. ἀνεῖλε * *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429: ἀνεῖπε A, ἀντεῖπε *Aeg.* 8. λέγει A, corr. *He.* 9. στενύστραν A, corr. *Aeg.* εὐρυγαστέρα A, corr. *He.* 9 s. στενυγρὰν τὴν εὐρυγάστορα . . . ἔχοντι *He.* coll. Euseb. Praep. evang. V 20 (*O. Müller*, Dor. I[2] p. 58 s.) 11. ἐπάσσετο A, corr. *Aeg.* 14. Ἀριστόδημος] explic. R fol. 18[v] 18. ἐνόμιζον *C* 20. ἱππότην ὁ φύτλαντος A, corr. *Aeg.*

τος, καὶ κελεύοντος φυγαδεῦσαι δέκα ἔτη τὸν ἀνελόντα
καὶ χρήσασθαι ἡγεμόνι τῷ τριοφθάλμῳ, τὸν μὲν Ἱπ-
πότην ἐφυγάδευσαν, τὸν δὲ τριόφθαλμον ἐζήτουν. καὶ 4
περιτυγχάνουσιν Ὀξύλῳ τῷ Ἀνδραίμονος, ἐφ' ἵππου
καθημένῳ μονοφθάλμῳ (τὸν γὰρ ἕτερον τῶν ὀφθαλμῶν
ἐκκέκοπτο τόξῳ). ἐπὶ φόνῳ γὰρ οὗτος φυγὼν εἰς Ἦλιν,
ἐκεῖθεν εἰς Αἰτωλίαν ἐνιαυτοῦ διελθόντος ἐπανήρχετο.
176 συμβαλόντες οὖν τὸν χρησμόν, τοῦτον ἡγεμόνα ποιοῦν- 5
ται. καὶ συμβαλόντες τοῖς πολεμίοις καὶ τῷ πεζῷ καὶ
τῷ ναυτικῷ προτεροῦσι στρατῷ, καὶ Τισαμενὸν κτεί-
νουσι τὸν Ὀρέστου. θνήσκουσι δὲ συμμαχοῦντες αὐ-
τοῖς οἱ Αἰγιμίου παῖδες, Πάμφυλος καὶ Δύμας.
177 ἐπειδὴ ⟨δὲ⟩ ἐκράτησαν Πελοποννήσου, τρεῖς ἱδρύ- 4
σαντο βωμοὺς πατρῴου Διός, καὶ ἐπὶ τούτων ἔθυσαν,
καὶ ἐκληροῦντο τὰς πόλεις. πρώτη μὲν οὖν λῆξις Ἄργος,
δευτέρα ⟨δὲ⟩ Λακεδαίμων, τρίτη δὲ Μεσσήνη. κο-
μισάντων δὲ ὑδρίαν ὕδατος, ἔδοξε ψῆφον βαλεῖν ἕκα-
στον. Τήμενος οὖν καὶ οἱ Ἀριστοδήμου παῖδες Προ- 2
κλῆς καὶ Εὐρυσθένης ἔβαλον λίθους, Κρεσφόντης δὲ
βουλόμενος Μεσσήνην λαχεῖν γῆς ἐνέβαλε βῶλον. ταύ-
της δὲ διαλυθείσης ἔδει τοὺς δύο κλήρους ἀναφανῆναι.
178 ἑλκυσθείσης δὲ πρώτης μὲν τῆς Τημένου, δευτέρας δὲ 3
τῆς τῶν Ἀριστοδήμου παίδων, Μεσσήνην ἔλαβε Κρεσ-

1. ἀνελόντα] καὶ διὰ τοῦτο δύο ἔτη add. A, del. *Fab.* 4. τῷ *He.*: τοῦ A Ἀνδραίμονος] Αἵμονος ex Paus. V 3, 6 *Clavierius* (Andraemon erat Oxyli filius, conf. Ovid. Met. IX 363, Nicand. ap. Anton. Lib. 32) 5. καθημένον A, corr. *Aeg.* 6 s. ἦλιν καὶ . . . ἐνιαυτοῦ δὲ A, corr. *He.* 12. πάμφιλος A, corr. *Aeg.* 13. δὲ add. *He.* 16. δευτέρα EA: δὲ add. *Hr.* τρίτη δὲ A: τρίτη E 16 ss. μεσήνη constanter EA 17. ἕκαστος A, corr. *He.* 21. κλήρους] πρώτους add. A, del. *Westermannus* 22. πρῶτον A, corr. *Aeg.* 22 s. δὲ τῆς τῶν *He.*: δὲ τ̈ τῶν κλήρους A 23. ἔλαχε *Hr.*

5 φόντης. ἐπὶ δὲ τοῖς βωμοῖς οἷς ἔθυσαν εὗρον σημεῖα
κείμενα οἱ μὲν λαχόντες Ἄργος φρῦνον, οἱ δὲ Λακε-
2 δαίμονα δράκοντα, οἱ δὲ Μεσσήνην ἀλώπεκα. περὶ δὲ
τῶν σημείων ἔλεγον οἱ μάντεις, τοῖς μὲν τὸν φρῦνον
καταλαβοῦσιν ἐπὶ τῆς πόλεως μένειν ἄμεινον (μὴ γὰρ
ἔχειν ἀλκὴν πορευόμενον τὸ θηρίον), τοὺς δὲ δράκοντα
καταλαβόντας δεινοὺς ἐπιόντας ἔλεγον ἔσεσθαι, τοὺς
δὲ τὴν ἀλώπεκα δολίους.
3 Τήμενος μὲν οὖν παραπεμπόμενος τοὺς παῖδας 179
Ἀγέλαον καὶ Εὐρύπυλον καὶ Καλλίαν, τῇ θυγατρὶ
προσανεῖχεν Ὑρνηθοῖ καὶ τῷ ταύτης ἀνδρὶ Δηιφόντῃ.
ὅθεν οἱ παῖδες πείθουσί τινας ἐπὶ μισθῷ τὸν πατέρα
4 αὐτῶν φονεῦσαι. γενομένου δὲ τοῦ φόνου τὴν βασι-
λείαν ὁ στρατὸς ἔχειν ἐδικαίωσεν Ὑρνηθὼ καὶ Δηιφόν-
την. Κρεσφόντης δὲ οὐ πολὺν Μεσσήνης βασιλεύσας 180
5 χρόνον μετὰ δύο παίδων φονευθεὶς ἀπέθανε. Πολυ-
φόντης δὲ ἐβασίλευσεν, αὐτῶν τῶν Ἡρακλειδῶν ὑπάρ-
χων, καὶ τὴν τοῦ φονευθέντος γυναῖκα Μερόπην
ἄκουσαν ἔλαβεν. ἀνῃρέθη δὲ καὶ οὗτος. τρίτον γὰρ
ἔχουσα παῖδα Μερόπη καλούμενον Αἴπυτον ἔδωκε τῷ
6 ἑαυτῆς πατρὶ τρέφειν. οὗτος ἀνδρωθεὶς καὶ κρύφα
κατελθὼν ἔκτεινε Πολυφόντην καὶ τὴν πατρῴαν βασι-
λείαν ἀπέλαβεν.

2. Ἄργος E: ἄργος ἐπὶ τὸν ἴδιον A 2. 4. φρύνον E A
2. λακεδαίμονα *E: λακεδαίμονα λαχόντες A 12. τινας *Fab.*: τιτᾶνας A, Τιτανίους propos. *He.* 14. ὑρνηθοῖ καὶ δηιφόντῃ A, corr. *He.* 17. αὐτῶν] αὐτὸς *Fab.*, καὶ αὐτὸς *He.*
18 s. ἄκουσαν Μερόπην A, transpos. *Hr.* 20. αἴγυπτον A, corr. *Gal.*

III.

Ἐπεὶ δὲ τὸ Ἰνάχειον διερχόμενοι γένος τοὺς ἀπὸ
Βήλου μέχρι τῶν Ἡρακλειδῶν δεδηλώκαμεν, ἐχομένως
λέγωμεν καὶ τὰ περὶ Ἀγήνορος. ὡς γὰρ ἡμῖν λέλεκται,
δύο Λιβύη ἐγέννησε παῖδας ἐκ Ποσειδῶνος, Βῆλον καὶ
2 Ἀγήνορα. Βῆλος μὲν οὖν βασιλεύων Αἰγυπτίων τοὺς 2
προειρημένους ἐγέννησεν, Ἀγήνωρ δὲ παραγενόμενος
εἰς τὴν Φοινίκην γαμεῖ Τηλέφασσαν καὶ τεκνοῖ θυγα-
τέρα μὲν Εὐρώπην, παῖδας δὲ Κάδμον καὶ Φοίνικα
καὶ Κίλικα. τινὲς δὲ Εὐρώπην οὐκ Ἀγήνορος ἀλλὰ
Φοίνικος λέγουσι. ταύτης Ζεὺς ἐρασθείς, † ῥόδου 3
ἀποπλέων, ταῦρος χειροήθης γενόμενος, ἐπιβιβασθεῖσαν
3 διὰ τῆς θαλάσσης ἐκόμισεν εἰς Κρήτην. ἡ δέ, ἐκεῖ
συνευνασθέντος αὐτῇ Διός, ἐγέννησε Μίνωα Σαρπη-
δόνα Ῥαδάμανθυν· καθ' Ὅμηρον δὲ Σαρπηδὼν ἐκ Διὸς
καὶ Λαοδαμείας τῆς Βελλεροφόντου. ἀφανοῦς δὲ Εὐ- 4

1. *διεξερχόμενοι He.* 3. *λέγωμεν* P: *λέγομεν* A *ὡς γὰρ ἡμῖν λέλεκται*] II 10 7. *Φοινίκην Emperius*: *εὐρώπην* A 7 ss. *τηλεφάσαν* A; *Τηλέφην* vocat Steph. Byz. s. v. *Θάσος* 10. *Φοίνικος*] *ἢ Τιτυοῦ* add. schol. Plat. Tim. p. 24 e 10 ss. *ἐρασθεὶς πίπτει διὰ τῆς θαλάσσης ῥόδου ἀποπλέων ταῦρος, ὃς χειροήθης γενόμενος ἐπιβιβασθεῖσαν διὰ τῆς θαλάσσης ἐκόμισεν* A: *ἣν ταῦρος διὰ τῆς θαλάσσης ῥόδου ἀποπλέων χειροήθης γενόμενος ἐπιβιβασθεῖσαν διὰ τῆς θαλάσσης ἐκόμισεν* * turbato verborum ordine E 10 s. *ῥόδου ἀποπνέων Sevinus*, *κρόκον ἀποπνέων Clavierius* coll. schol. Hom. *M* 292; *ἐκ ῥόδων* vel *ἐκ ῥοδῶνος ἀφελὼν* coll. Mosch. I 70 proposui Epit. Vat. p. 104 et XVI 14. *καθ' ἡμέραν C* Hom. Z 198 s. 14 s. *καθ' Ὅμηρον — Βελλεροφόντου* suspecta esse censet *Hr*.

ρώπης γενομένης ὁ πατὴρ αὐτῆς Ἀγήνωρ ἐπὶ ζήτησιν
ἐξέπεμψε τοὺς παῖδας, εἰπὼν μὴ πρότερον ἀναστρέφειν
πρὶν ἂν ἐξεύρωσιν Εὐρώπην. συνεξῆλθε δὲ ἐπὶ τὴν
ζήτησιν αὐτῆς Τηλέφασσα ἡ μήτηρ καὶ Θάσος ὁ Ποσει-
5 δῶνος, ὡς δὲ Φερεκύδης φησὶ Κίλικος. ὡς δὲ πᾶσαν 4
ποιούμενοι ζήτησιν εὑρεῖν ἦσαν Εὐρώπην ἀδύνατοι,
τὴν εἰς οἶκον ἀνακομιδὴν ἀπογνόντες ἄλλος ἀλλαχοῦ
κατῴκησαν, Φοῖνιξ μὲν ἐν Φοινίκῃ, Κίλιξ δὲ Φοινίκης
πλησίον, καὶ πᾶσαν τὴν κειμένην χώραν ποταμῷ σύνεγ-
6 γυς Πυράμῳ Κιλικίαν ἀφ' ἑαυτοῦ ἐκάλεσε· Κάδμος δὲ
καὶ Τηλέφασσα ἐν Θρᾴκῃ κατῴκησαν. ὁμοίως δὲ καὶ
Θάσος ἐν Θρᾴκῃ κτίσας πόλιν Θάσον κατῴκησεν.
2 Εὐρώπην δὲ γήμας Ἀστέριος ὁ Κρητῶν δυνάστης 5
τοὺς ἐκ ταύτης παῖδας ἔτρεφεν. οἱ δὲ ὡς ἐτελειώθησαν,
πρὸς ἀλλήλους ἐστασίασαν· ἴσχουσι γὰρ ἔρωτα παιδὸς
ὃς ἐκαλεῖτο Μίλητος, Ἀπόλλωνος δὲ ἦν καὶ Ἀρείας
2 τῆς Κλεόχου. τοῦ δὲ παιδὸς πρὸς Σαρπηδόνα μᾶλλον
οἰκείως ἔχοντος πολεμήσας Μίνως ἐπροτέρησεν. οἱ δὲ 6
φεύγουσι, καὶ Μίλητος μὲν Καρίᾳ προσσχὼν ἐκεῖ πόλιν
ἀφ' ἑαυτοῦ ἔκτισε Μίλητον, Σαρπηδὼν δὲ συμμαχήσας
Κίλικι πρὸς Λυκίους ἔχοντι πόλεμον, ἐπὶ μέρει τῆς
3 χώρας, Λυκίας ἐβασίλευσε. καὶ αὐτῷ δίδωσι Ζεὺς ἐπὶ
τρεῖς γενεὰς ζῆν. ἔνιοι δὲ αὐτοὺς ἐρασθῆναι λέγουσιν
Ἀτυμνίου τοῦ Διὸς καὶ Κασσιεπείας, καὶ διὰ τοῦτον

3. τὴν εὐρώπην R^a^, non O 5. Pherecyd. frg. 42 κιλίκιος A, corr. *He.*, Κίλιξ *Aeg.* 6. Εὐρώπην om. R^a^, non O 8. κατῴκησαν R^a^O: κατῴκισαν A ἐν Φοινίκῃ *Br.*: φοινίκην A 9. ⟨ὃς⟩ καὶ *Hr.* 10. ὑφ' ἑαυτοῦ ante κειμένην delevit et ἀφ' ἑαυτοῦ * post Κιλικίαν inserui Comm. Ribb. p. 144 12. ἐν Θρᾴκῃ del. *Hr.*, ἐν νήσῳ πρὸς τῇ Θρᾴκῃ *He.* 13. Ἀστέριος * ex Diod. IV 60, 3 recepi: Ἀστερίων A (v. infra p. 108, 6 et 11) 16. ἀρέας A, corr. *Aeg.* 19. προσχὼν A, corr. *He.* 21. μέρη A, corr. *He.* 23. αὐτοὺς * scripsi: αὐτὸν A

στασιάσαι. Ῥαδάμανθυς δὲ τοῖς νησιώταις νομοθετῶν,
αὖθις φυγὼν εἰς Βοιωτίαν Ἀλκμήνην γαμεῖ, καὶ μεταλ-
7 λάξας ἐν Ἅιδου μετὰ Μίνωος δικάζει. Μίνως δὲ Κρή- 4
την κατοικῶν ἔγραψε νόμους, καὶ γήμας Πασιφάην τὴν
Ἡλίου καὶ Περσηίδος, ὡς ⟨δὲ⟩ Ἀσκληπιάδης φησί,
Κρήτην τὴν Ἀστερίου θυγατέρα, παῖδας μὲν ἐτέκνωσε
Κατρέα Δευκαλίωνα Γλαῦκον Ἀνδρόγεων, θυγατέρας 5
δὲ Ἀκάλλην Ξενοδίκην Ἀριάδνην Φαίδραν, ἐκ Παρείας
δὲ νύμφης Εὐρυμέδοντα Νηφαλίωνα Χρύσην Φιλόλαον,
ἐκ δὲ Δεξιθέας Εὐξάνθιον.
8 Ἀστερίου δὲ ἄπαιδος ἀποθανόντος Μίνως βασι- 3
λεύειν θέλων Κρήτης ἐκωλύετο. φήσας δὲ παρὰ θεῶν
τὴν βασιλείαν εἰληφέναι, τοῦ πιστευθῆναι χάριν ἔφη,
ὅ τι ἂν εὔξηται, γενέσθαι. καὶ Ποσειδῶνι θύων ηὔξατο 2
ταῦρον ἀναφανῆναι ἐκ τῶν βυθῶν, καταθύσειν ὑποσχό-
μενος τὸν φανέντα. τοῦ δὲ Ποσειδῶνος ταῦρον ἀν-
έντος αὐτῷ διαπρεπῆ τὴν βασιλείαν παρέλαβε, τὸν δὲ
9 ταῦρον εἰς τὰ βουκόλια πέμψας ἔθυσεν ἕτερον. θαλασσο-
κρατήσας δὲ πρῶτος πασῶν τῶν νήσων σχεδὸν ἐπ-
ῆρξεν. ὀργισθεὶς δὲ αὐτῷ Ποσειδῶν ὅτι μὴ κατέθυσε 4
τὸν ταῦρον, τοῦτον μὲν ἐξηγρίωσε, Πασιφάην δὲ ἐλθεῖν
εἰς ἐπιθυμίαν αὐτοῦ παρεσκεύασεν. ἡ δὲ ἐρασθεῖσα
τοῦ ταύρου συνεργὸν λαμβάνει Δαίδαλον, ὃς ἦν ἀρχι-
10 τέκτων, πεφευγὼς ἐξ Ἀθηνῶν ἐπὶ φόνῳ. οὗτος ξυλί- 2

5. δὲ add. *Müllerus* Asclepiad. frg. 18 (FHG. III p. 304) 7. καστρέα A, corr. *Gal.* ἀνδρόγεω OR[a] 8. Ἀκάλλην A: Ἀκακαλλίδα *Lobeckius* 11. ἀστερίου *A (conf. p. 107, 13 et 108, 6): Ἀστερίωνος *edd.* 13. τοῦ πιστευθῆναι χάριν *ES p. 181, 25: χάριν τοῦ πιστευθῆναι A 14. ὅ τι *Müllerus*: εἴ τι ESA 15. καταθύσειν ὑποσχόμενος *ES: ὑποσχόμενος καταθύσειν A 16. ἀνέντος ESA: ἀναδόντος Zenob. IV 6 18 s. θαλασσοκρατήσας — ἐπῆρξεν del. *He.* 19. ἐπῆρξεν ES: ὑπῆρξεν A

*νην βοῦν ἐπὶ τροχῶν κατασκευάσας, καὶ ταύτην † βαλὼν
κοιλάνας ἔνδοθεν, ἐκδείρας τε βοῦν τὴν δορὰν περι-
έρραψε, καὶ θεὶς ἐν ᾧπερ εἴθιστο ὁ ταῦρος λειμῶνι
3 βόσκεσθαι, τὴν Πασιφάην ἐνεβίβασεν. ἐλθὼν δὲ ὁ
ταῦρος ὡς ἀληθινῇ βοΐ συνῆλθεν. ἡ δὲ Ἀστέριον* 11
*ἐγέννησε τὸν κληθέντα Μινώταυρον. οὗτος εἶχε ταύ-
ρου πρόσωπον, τὰ δὲ λοιπὰ ἀνδρός· Μίνως δὲ ἐν τῷ
λαβυρίνθῳ κατά τινας χρησμοὺς κατακλείσας αὐτὸν
4 ἐφύλαττεν. ἦν δὲ ὁ λαβύρινθος, ὃν Δαίδαλος κατεσκεύ-
ασεν, οἴκημα καμπαῖς πολυπλόκοις πλανῶν τὴν ἔξοδον.*
τὰ μὲν οὖν περὶ Μινωταύρου καὶ Ἀνδρόγεω καὶ 12
Φαίδρας καὶ Ἀριάδνης ἐν τοῖς περὶ Θησέως ὕστερον
2 *ἐροῦμεν· Κατρέως δὲ τοῦ Μίνωος Ἀερόπη καὶ Κλυμένη
καὶ Ἀπημοσύνη καὶ Ἀλθαιμένης υἱὸς γίνονται. χρω-
μένῳ δὲ Κατρεῖ περὶ καταστροφῆς τοῦ βίου ὁ θεὸς
2 ἔφη ὑπὸ ἑνὸς τῶν τέκνων τεθνήξεσθαι. Κατρεὺς μὲν* 13
*οὖν ἀπεκρύβετο τοὺς χρησμούς, Ἀλθαιμένης δὲ ἀκούσας,
καὶ δείσας μὴ φονεὺς γένηται τοῦ πατρός, ἄρας ἐκ
Κρήτης μετὰ τῆς ἀδελφῆς Ἀπημοσύνης προσίσχει τινὶ
τόπῳ τῆς Ῥόδου, καὶ κατασχὼν Κρητινίαν ὠνόμασεν.
3 ἀναβὰς δὲ ἐπὶ τὸ Ἀταβύριον καλούμενον ὄρος ἐθεάσατο
τὰς πέριξ νήσους, κατιδὼν δὲ καὶ Κρήτην, καὶ τῶν
πατρῴων ὑπομνησθεὶς θεῶν, ἱδρύετο βωμὸν Ἀταβυρίου
Διός. μετ' οὐ πολὺ δὲ τῆς ἀδελφῆς αὐτόχειρ ἐγένετο.* 14

1 s. *καὶ ταύτην — ἔνδοθεν* del. *Hr.* 1. *βαλὼν* *ESA: *λαβὼν καὶ* edd. (in voce *βαλὼν* latet fortasse instrumenti cuiusvis significatio) 2. *ἔνδοθεν* *ES: *ἔσωθεν* A 9. *ὃν — κατεσκεύασεν* del. *Hr.* 10. *οἴκημα*] incip. R fol. 16r *οἴκημα κάμπαις πολυπλόκοις* fragm. trag. adesp. 34 N. 12 s. *ὕστερον ἐροῦμεν*] III 209 s., ep. 1, 17—19 et 8—10 14 ss. *Ἀλθαιμένης* E: *ἀλθεμαίνης* (passim *ἀλθεμένης*) ubique A 15. *κρατεῖ* RRac V *καπεῖ* P 16. *τέκνων* *R: *παίδων* A 20. *κρητινίαν* R: *κρατινίαν* A 21. *ἀταβέυ̱ρὶ* R *ἀταβέριον* A, corr. *Aeg.*

Ἑρμῆς γὰρ αὐτῆς ἐρασθείς, ὡς φεύγουσαν αὐτὴν κατα- 4
λαβεῖν οὐκ ἠδύνατο (περιῆν γὰρ αὐτοῦ τῷ τάχει τῶν
ποδῶν), κατὰ τῆς ὁδοῦ βύρσας ὑπέστρωσε νεοδάρτους,
ἐφ' ἃς ὀλισθοῦσα, ἡνίκα ἀπὸ τῆς κρήνης ἐπανῄει,
φθείρεται. καὶ τῷ ἀδελφῷ μηνύει τὸ γεγονός· ὁ δὲ
σκῆψιν νομίσας εἶναι τὸν θεόν, λὰξ ἐνθορὼν ἀπέκτει-
15 νεν. Ἀερόπην δὲ καὶ Κλυμένην Κατρεὺς Ναυπλίῳ 2
δίδωσιν εἰς ἀλλοδαπὰς ἠπείρους ἀπεμπολῆσαι. τούτων
Ἀερόπην μὲν ἔγημε Πλεισθένης καὶ παῖδας Ἀγαμέμνονα
καὶ Μενέλαον ἐτέκνωσε, Κλυμένην δὲ γαμεῖ Ναύπλιος,
καὶ τέκνων πατὴρ γίνεται Οἴακος καὶ Παλαμήδους.
Κατρεὺς δὲ ὕστερον γήρᾳ κατεχόμενος ἐπόθει τὴν 2
βασιλείαν Ἀλθαιμένει τῷ παιδὶ παραδοῦναι, καὶ διὰ
16 τοῦτο ἦλθεν εἰς Ῥόδον. ἀποβὰς δὲ τῆς νεὼς σὺν τοῖς
ἥρωσι κατά τινα τῆς νήσου τόπον ἔρημον ἠλαύνετο
ὑπὸ τῶν βουκόλων, λῃστὰς ἐμβεβληκέναι δοκούντων·
καὶ μὴ δυναμένων ἀκοῦσαι λέγοντος αὐτοῦ τὴν ἀλή- 3
θειαν διὰ τὴν κραυγὴν τῶν κυνῶν, ἀλλὰ βαλλόντων
κἀκείνων, παραγενόμενος Ἀλθαιμένης ἀκοντίσας ἀπέκ-
τεινεν ἀγνοῶν Κατρέα. μαθὼν δὲ ὕστερον τὸ γεγονός,
εὐξάμενος ὑπὸ χάσματος ἐκρύβη.

17 Δευκαλίωνι δὲ ἐγένοντο Ἰδομενεύς τε καὶ Κρήτη **3**
καὶ νόθος Μόλος. Γλαῦκος δὲ ἔτι νήπιος ὑπάρχων,
μῦν διώκων εἰς μέλιτος πίθον πεσὼν ἀπέθανεν. ἀφα-
νοῦς δὲ ὄντος αὐτοῦ Μίνως πολλὴν ζήτησιν ποιού-

3. νεοδάρτους ER: νεοδάρτας A 4. ἃς EA: αἷς *He.* ὀλισθοῦσα E: ὀλισθήσασα A κρήτης EA, corr. *Hr.* 7. κρατεὺς RR^a*B*V 8. ἀπεμπωλῆσαι A, corr. *Müllerus* 10. ἐτέκνωσε *ERR^a: ἔτεκε A 11. οἴακος E: ὄρακος A 12. γήραι R ἐπόθη R (η add. man. 2) 15. ἥρωσι A: Κρησὶ *Br.*, σὺν τοῖς ἥρωσι del. *Hr.* 18 s. verbis ἀλλὰ βαλλόντων κἀκείνων deletis παραγενόμενος ⟨δὲ⟩ propos. *Hr.* 23. Μόλος *Meursius Hr.*: καὶ μῶλος A 24. μῦν ERR^a Tzetz. Lycophr. 811: μιᾶ *B* μυίας *C*

2 μενος περὶ τῆς εὑρέσεως ἐμαντεύετο. Κούρητες δὲ 18
εἶπον αὐτῷ τριχρώματον ἐν ταῖς ἀγέλαις ἔχειν βοῦν,
τὸν δὲ τὴν ταύτης χρόαν ἄριστα εἰκάσαι δυνηθέντα
3 καὶ ζῶντα τὸν παῖδα ἀποδώσειν. συγκληθέντων δὲ
τῶν μάντεων Πολύιδος ὁ Κοιρανοῦ τὴν χρόαν τῆς
βοὸς εἴκασε βάτου καρπῷ, καὶ ζητεῖν τὸν παῖδα ἀναγ-
κασθεὶς διά τινος μαντείας ἀνεῦρε. λέγοντος δὲ Μίνωος 19
ὅτι δεῖ καὶ ζῶντα ἀπολαβεῖν αὐτόν, ἀπεκλείσθη σὺν τῷ
4 νεκρῷ. ἐν ἀμηχανίᾳ δὲ πολλῇ τυγχάνων εἶδε δράκοντα
ἐπὶ τὸν νεκρὸν ἰόντα· τοῦτον βαλὼν λίθῳ ἀπέκτεινε,
δείσας μὴ ἂν αὐτὸς τελευτήσῃ, εἰ τούτῳ συμπάθῃ. ἔρχε-
ται δὲ ἕτερος δράκων, καὶ θεασάμενος νεκρὸν τὸν πρό-
τερον ἄπεισιν, εἶτα ὑποστρέφει πόαν κομίζων, καὶ
ταύτην ἐπιτίθησιν ἐπὶ πᾶν τὸ τοῦ ἑτέρου σῶμα· ἐπι-
5 τεθείσης δὲ τῆς πόας ἀνέστη. θεασάμενος δὲ Πολύιδος 20
καὶ θαυμάσας, τὴν αὐτὴν πόαν προσενεγκὼν τῷ τοῦ
2 Γλαύκου σώματι ἀνέστησεν. ἀπολαβὼν δὲ Μίνως τὸν
παῖδα οὐδ' οὕτως εἰς Ἄργος ἀπιέναι τὸν Πολύιδον
εἴα, πρὶν ἢ τὴν μαντείαν διδάξαι τὸν Γλαῦκον· ἀναγ-
κασθεὶς δὲ Πολύιδος διδάσκει. καὶ ἐπειδὴ ἀπέπλει,
κελεύει τὸν Γλαῦκον εἰς τὸ στόμα ἐμπτύσαι· καὶ τοῦτο
ποιήσας Γλαῦκος τῆς μαντείας ἐπελάθετο.

γρ. χρόαν
3. χρόαν EOR[a] θέαν R: θέαν *BC* 5 ss. *Πολύιδος* EA (conf. Etym. magn. s. v.): *Πολύειδος Aeg.* 8 s. *συναπεκλείσθη αὐτῷ ἔν τινι οἰκήματι* Tzetz., *in monumento* **Hyg. fab. 136** 11. *δείσας — συμπάθῃ* del. *Hr.* *ἂν* EA: *κἂν Br.* *τούτῳ* E: *τοῦτο* A *συμπάθῃ* EA: *συμπάθοι* edd. *εἴ τι τὸ σῶμα πάθοι Br.*, conf. Hyg.: *quod* (scil. corpus pueri) *Polyidus aestimans eum* (scil. dracontem) *velle consumere gladio repente percussit.* 12. *πρότερον* *E, R man. 1: *πρῶτον* R (corr. man. 2) A 20. *Πολύιδος* *EA: *ὁ Πολύιδος* edd. recc. 21. *εἰς*] **R fol. 16[v]** *εἰς τὸ ἑαυτοῦ στόμα* ex Tzetza fortasse recipiendum est *ἐμπτύσαι* Tzetz. *He.*: *ἐπιπτύσαι* EA 22. *τῆς μαντείας* *E:

21 *Τὰ μὲν οὖν περὶ τῶν τῆς Εὐρώπης ἀπογόνων μέχρι
τοῦδέ μοι λελέχθω· Κάδμος δὲ ἀποθανοῦσαν θάψας* 4
*Τηλέφασσαν, ὑπὸ Θρᾳκῶν ξενισθείς, ἦλθεν εἰς Δελφοὺς
περὶ τῆς Εὐρώπης πυνθανόμενος. ὁ δὲ θεὸς εἶπε περὶ
μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῷ
βοΐ, καὶ πόλιν κτίζειν ἔνθα ἂν αὕτη πέσῃ καμοῦσα.*
22 *τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο, εἶτα* 2
*βοΐ συντυχὼν ἐν τοῖς Πελάγοντος βουκολίοις ταύτῃ
κατόπισθεν εἵπετο. ἡ δὲ διεξιοῦσα Βοιωτίαν ἐκλίθη,
† πόλις ἔνθα νῦν εἰσι Θῆβαι. βουλόμενος δὲ Ἀθηνᾷ* 3
*καταθῦσαι τὴν βοῦν, πέμπει τινὰς τῶν μεθ' ἑαυτοῦ
ληψομένους ἀπὸ τῆς Ἀρείας κρήνης ὕδωρ· φρουρῶν
δὲ τὴν κρήνην δράκων, ὃν ἐξ Ἄρεος εἰπόν τινες γε-
γονέναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν.*
23 *ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα, καὶ τῆς* 4
*Ἀθηνᾶς ὑποθεμένης τοὺς ὀδόντας αὐτοῦ σπείρει. τού-
των δὲ σπαρέντων ἀνέτειλαν ἐκ γῆς ἄνδρες ἔνοπλοι,
οὓς ἐκάλεσαν Σπαρτούς. οὗτοι δὲ ἀπέκτειναν ἀλλήλους,
οἱ μὲν εἰς ἔριν ἀκούσιον ἐλθόντες, οἱ δὲ ἀγνοοῦντες.*
24 *Φερεκύδης δέ φησιν ὅτι Κάδμος, ἰδὼν ἐκ γῆς ἀναφυο-* 5
μένους ἄνδρας ἐνόπλους, ἐπ' αὐτοὺς ἔβαλε λίθους, οἱ

τὴν μαντείαν A *τὴν μαντικὴν* Tzetz. 3. *εἰς Δελφοὺς ἦλθεν* C 6. *αὕτη* schol. Hom. *B* 494 *Hr.*: *αὐτὴ* EAS p. 190, 4 9. *ἐκλίθη* ERR[a]: *ἐκλήθη* A 10. *πόλις* A, om. schol. Hom. *Hr.*, *ἐν πόαις* *Büch.*: *ἐν ᾗ ἡ πόλις* S, *ἔνθα κτίζει πόλιν Καδμείαν, ὅπου νῦν* ... E (conf. Comm. Ribb. p. 140 et Mus. Rhen. XLVI p. 388) *Θῆβαι* SA: *αἱ Θῆβαι* E schol. Hom. 11 s. *τινὰς ... ληψομένους* E schol. Hom.: *τινὰ ληψόμενον* SA 12. *ἀρείας* ESA (conf. Steph. Byz. s. v.): *Ἀρητιάδος* schol. Hom. *Hr.* 12 s. *φρουρῶν δὲ* ESA: *ὁ δὲ φρουρῶν* schol. Hom. *Hr.* 15. *τῆς* ESA schol. Hom., del. *Hr.* 19. *οἱ μὲν* et *οἱ δὲ ἀλλήλους ἀγνοοῦντες* ESA, del. *Hr.* (*ἀλλήλους* iam deleverat *He.*) *ἀκούσιον* AS: *ἑκούσιον* E (conf. Comm. Ribb. p. 139 s. et Mus. Rhen. l. l.) 20. Pherecyd. frg. 44 21. *ἔβαλε* A: *ἔβαλλε* S

δὲ ὑπ' ἀλλήλων νομίζοντες βάλλεσθαι εἰς μάχην κατέ-
στησαν. περιεσώθησαν δὲ πέντε, Ἐχίων Οὐδαῖος
2 Χθονίος Ὑπερήνωρ Πέλωρος. Κάδμος δὲ ἀνθ' ὧν
ἔκτεινεν ἀίδιον ἐνιαυτὸν ἐθήτευσεν Ἄρει· ἦν δὲ ὁ
ἐνιαυτὸς τότε ὀκτὼ ἔτη.
2 μετὰ δὲ τὴν θητείαν Ἀθηνᾶ αὐτῷ τὴν βασιλείαν 25
κατεσκεύασε, Ζεὺς δὲ ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν,
Ἀφροδίτης καὶ Ἄρεος θυγατέρα. καὶ πάντες θεοὶ κατα-
λιπόντες τὸν οὐρανόν, ἐν τῇ Καδμείᾳ τὸν γάμον εὐωχού-
3 μενοι καθύμνησαν. ἔδωκε δὲ αὐτῇ Κάδμος πέπλον καὶ
τὸν ἡφαιστότευκτον ὅρμον, ὃν ὑπὸ Ἡφαίστου λέγουσί
τινες δοθῆναι Κάδμῳ, Φερεκύδης δὲ ὑπὸ Εὐρώπης· ὃν
4 παρὰ Διὸς αὐτὴν λαβεῖν. γίνονται δὲ Κάδμῳ θυγατέρες 26
μὲν Αὐτονόη Ἰνὼ Σεμέλη Ἀγαυή, παῖς δὲ Πολύδωρος.
Ἰνὼ μὲν οὖν Ἀθάμας ἔγημεν, Αὐτονόην δὲ Ἀρισταῖος,
3 Ἀγαυὴν δὲ Ἐχίων. Σεμέλης δὲ Ζεὺς ἐρασθεὶς Ἥρας
κρύφα συνευνάζεται. ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας,
κατανεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιήσειν,
αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμε-
2 νος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι παρα- 27
γίνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ' ἅρματος ἀστραπαῖς
ὁμοῦ καὶ βρονταῖς, καὶ κεραυνὸν ἵησιν. Σεμέλης δὲ
διὰ τὸν φόβον ἐκλιπούσης, ἑξαμηνιαῖον τὸ βρέφος
ἐξαμβλωθὲν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ·

3. *χθόνιος* A *Πέλωρος* *R (Paus. IX 5, 3. Myth. Vat. I 149, II 77): *Πέλωρ* A (schol. Apoll. Rhod. III 1179) 4. *ἀίδιον* EA: *Ἄρεος υἱὸν* *Hr.*, *ἀνδρῶν* *Sevinus* 6. *τὴν βασιλείαν* *E *βασιλείαν* S *βασιλ'* R *βασιλεῖ* A 7. *δὲ* add. SR 12. Pherecyd. frg. 45 12 s. *Φερεκύδης — λαβεῖν* om. S 14. *παῖς* A: *παῖδες* S 16. *δὲ* add. R *ἐχίων* E: *ἐχέων* A *Ἥρας* SA (in R inseruit man. 2) schol. Hom. Ξ 325, del. *He.* 18. *κατευνάσαντος* ESR[a] 21. *ἐφ' ἅρματος* ESA schol. Hom., del. *Hr.* 23. *τὸ* add. E schol. Hom., om. SA

ἀποθανούσης δὲ Σεμέλης, αἱ λοιπαὶ Κάδμου θυγατέρες 3
διήνεγκαν λόγον, συνηυνῆσθαι θνητῷ τινι Σεμέλην
καὶ καταψεύσασθαι Διός, καὶ ⟨ὅτι⟩ διὰ τοῦτο ἐκεραυ-
28 *νώθη. κατὰ δὲ τὸν χρόνον τὸν καθήκοντα Διόνυσον* 4
γεννᾷ Ζεὺς λύσας τὰ ῥάμματα, καὶ δίδωσιν Ἑρμῇ. ὁ
δὲ κομίζει πρὸς Ἰνὼ καὶ Ἀθάμαντα καὶ πείθει τρέφειν
ὡς κόρην. ἀγανακτήσασα δὲ Ἥρα μανίαν αὐτοῖς ἐν- 5
έβαλε, καὶ Ἀθάμας μὲν τὸν πρεσβύτερον παῖδα Λέαρχον
ὡς ἔλαφον θηρεύσας ἀπέκτεινεν, Ἰνὼ δὲ τὸν Μελικέρ-
την εἰς πεπυρωμένον λέβητα ῥίψασα, εἶτα βαστάσασα
29 *μετὰ νεκροῦ τοῦ παιδὸς ἥλατο κατὰ βυθοῦ. καὶ Λευκο-* 6
θέα μὲν αὐτὴ καλεῖται, Παλαίμων δὲ ὁ παῖς, οὕτως
ὀνομασθέντες ὑπὸ τῶν πλεόντων· τοῖς χειμαζομένοις
γὰρ βοηθοῦσιν. ἐτέθη δὲ ἐπὶ Μελικέρτῃ ⟨ὁ⟩ ἀγὼν
τῶν Ἰσθμίων, Σισύφου θέντος. Διόνυσον δὲ Ζεὺς εἰς 7
ἔριφον ἀλλάξας τὸν Ἥρας θυμὸν ἔκλεψε, καὶ λαβὼν
αὐτὸν Ἑρμῆς πρὸς νύμφας ἐκόμισεν ἐν Νύσῃ κατοι-
κούσας τῆς Ἀσίας, ἃς ὕστερον Ζεὺς καταστερίσας ὠνό-
μασεν Ὑάδας.

30 *Αὐτονόης δὲ καὶ Ἀρισταίου παῖς Ἀκταίων ἐγένετο,* 4
ὃς τραφεὶς παρὰ Χείρωνι κυνηγὸς ἐδιδάχθη, καὶ ἔπειτα
ὕστερον ἐν τῷ Κιθαιρῶνι κατεβρώθη ὑπὸ τῶν ἰδίων
κυνῶν. καὶ τοῦτον ἐτελεύτησε τὸν τρόπον, ὡς μὲν 2

2. *συνηυνῆσθαι* SR: *συνευνῆσθαι* A   3. *ὅτι* om. SA, add. *Hr.*   *δι' ὃ καὶ Büch.*   10. *πεπυρακτωμένον* E   11. *ἥλλατο* ESA, corr. *Fab.*   *βυθοῦ* *ES: *βυθῶν* A   13. *ὀνομασθέντες* ER: *ὀνομασθέντος* A   *τοῖς*] R fol. 17r   14. *ὁ* om. EA, add. *Hr.*   16. *τῶν ... θυμῶν* RRa   17. *Νύσῃ* S: *νύσσῃ* EA   17 s. *κατοικούσας τῆς Ἀσίας* *ES: *τῆς ἀσίας κατοικούσας* A   20 ss. *Ἀκταίων* constanter EAS p. 191, 17 ss.: *Ἀκτέων Hr.*   21. *ἔπειτα* * add. ES   22. *ἐν τῷ Κιθαιρῶνι κατεβρώθη* *ES: *κατεβρώθη ἐν τῷ κιθαιρῶνι* A   23. *καὶ — τρόπον* del. *Hr.* virgula post *κυνῶν* posita (Herm. XI p. 234)   *μὲν* Rb *Hr.*: *μὲν οὖν* ESA

Ἀκουσίλαος λέγει, μηνίσαντος τοῦ Διὸς ὅτι ἐμνηστεύ-
3 σατο Σεμέλην, ὡς δὲ οἱ πλείονες, ὅτι τὴν Ἄρτεμιν
λουομένην εἶδε. καί φασι τὴν θεὸν παραχρῆμα αὐτοῦ 31
τὴν μορφὴν εἰς ἔλαφον ἀλλάξαι, καὶ τοῖς ἑπομένοις
αὐτῷ πεντήκοντα κυσὶν ἐμβαλεῖν λύσσαν, ὑφ' ὧν κατὰ
4 ἄγνοιαν ἐβρώθη. ἀπολομένου δὲ Ἀκταίωνος οἱ κύνες
ἐπιζητοῦντες τὸν δεσπότην κατωρύοντο, καὶ ζήτησιν
ποιούμενοι παρεγένοντο ἐπὶ τὸ τοῦ Χείρωνος ἄντρον,
ὃς εἴδωλον κατεσκεύασεν Ἀκταίωνος, ὃ καὶ τὴν λύπην
αὐτῶν ἔπαυσε.

5 [τὰ ὀνόματα τῶν Ἀκταίωνος κυνῶν ἐκ τῶν ... 32

οὕτω
δὴ νῦν καλὸν σῶμα περισταδόν, ἠύτε θῆρος,
τοῦδε δάσαντο κύνες κρατεροί. πέλας † Ἄρκενα πρώτη.

1. Acusil. frg. 21 4. τοῖς ἑπομένοις S A: ταῖς ἑπομέναις E 6. ἀπολομένου R ἀπολλομένου S, E (ολ in ras. man. 1): ἀπολλυμένου A 6 ss. ἀκταίωνος *E S A: Ἀκταίονος edd. 7 s. ἐπιζητοῦντες ... ποιούμενοι S A: ἐπιζητοῦσαι ... ποιούμεναι E 11 ss. de canum catalogo conf. **Hyg. fab. 181, Ovid. Met. III 206 ss., Poll. V 47** (= Aeschyl. frg. 245). Totum locum, quem omittunt E S, a bibliotheca alienum esse perspexit *Gal.* Heroicos versus (Eratosthenis?) restituit *M. Schmidt* (Mus. Rhen. n. s. VI p. 405 ss.), lyricos, quos Stesichoro adscribit, *Bergkius* (frg. adesp. 33), uterque non sine satis violentis mutationibus. Sunt haud dubie duo fragmenta diversorum poetarum, ni fallor epicorum, quorum nomina excidisse videntur (conf. v. 13 πρώτη et p. 116, 5 πρῶτοι). Quamobrem nominum Ἀκταίων et Ἀκταῖος differentiam non sustuli. Ultimum versum, quem plerique *Fabrum* secuti ab Actaeonis fabula prorsus segregaverunt (de Panyasside somniavit *Schmidtius*), si mihi credes, referes ad varia dolorum remedia inventa a Chirone, cuius arte etiam canum maestitiam lenitam esse Apollodorus supra addidit. 11. ἐκ τῶν A: ἐξ ὧν *Aeg.*; excidit fortasse carminis titulus 12. οὕτω A: οὗτοι *Aeg.*, οὖλοι *Schmidtius* 13. ex δὴ νῦν elicuit Δεινάρχου *Schmidtius*; οἱ δέ νυ *Bergkius* θῆρες A, corr. *Scaliger* * 14. τοῦ A, corr. *Scaliger* ἄρκενα A: Ἄρκυα *Aeg.*, Ἄρπυια (Ovid. 215) *Scaliger*, Ἄργια *Mitscherlichius*, Ἄλκαινα ex schol. Hom. *X* 29 *Bergkius*.

. . . μετὰ ταύτην ἄλκιμα τέκνα,
Λυγκεὺς καὶ Βαλίος πόδας αἰνετός, ἠδ' Ἀμάρυνθος. —
καὶ οὓς ὀνομαστὶ διήνεγκεν . . ., ὡς κατελέξῃ· 6
. . . τότ' Ἀκταῖον κτεῖναι Διὸς αἰνεσίῃσι.
πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος
Σπαρτός τ' Ὤμαργός τε Βορῆς τ' αἰψηροκέλευθος.
οὗτοι δ' Ἀκταίου πρῶτοι φάγον αἷμα τ' ἔλαψαν.
τοὺς δὲ μέτ' ἄλλοι πάντες ἐπέσσυθεν ἐμμεμαῶτες. —
ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν.]

33 Διόνυσος δὲ εὑρετὴς ἀμπέλου γενόμενος, Ἥρας 5
μανίαν αὐτῷ ἐμβαλούσης περιπλανᾶται Αἴγυπτόν τε
καὶ Συρίαν. καὶ τὸ μὲν πρῶτον Πρωτεὺς αὐτὸν ὑπο-
δέχεται βασιλεὺς Αἰγυπτίων, αὖθις δὲ εἰς Κύβελα τῆς 2
Φρυγίας ἀφικνεῖται, κἀκεῖ καθαρθεὶς ὑπὸ Ῥέας καὶ τὰς
τελετὰς ἐκμαθών, καὶ λαβὼν παρ' ἐκείνης τὴν στολήν,
34 [ἐπὶ Ἰνδοὺς] διὰ τῆς Θρᾴκης ἠπείγετο. Λυκοῦργος δὲ 3
παῖς Δρύαντος, Ἠδωνῶν βασιλεύων, οἳ Στρυμόνα πο-
ταμὸν παροικοῦσι, πρῶτος ὑβρίσας ἐξέβαλεν αὐτόν.
καὶ Διόνυσος μὲν εἰς θάλασσαν πρὸς Θέτιν τὴν Νηρέως
κατέφυγε, Βάκχαι δὲ ἐγένοντο αἰχμάλωτοι καὶ τὸ συν-

2. Βαλίος * *Mitscherlichius Bergkius*: βανός A ἄνετος A, corr. *Gal.* βαιὸς πόδας Αἴνετος *Br.* 3. οὓς *Aeg.*: τοὺς A καὶ τούτους ὀνομαστὶ διηνεκέως κατέλεξε *Scaliger*. Poetae nomen excidit 4. τότ' Ἀκταῖον κτεῖναι A (κτεῖνε PR[c]): καὶ τότ' Ἀκταίων ἔθανε *Aeg.* κτεῖναν *Bergkius* 5. πρῶτος A, corr. *Aeg.* πίον *Scaliger*: ἀπὸ A 6. παρτὸς A, corr. *Aeg.* Ὤμαργος *Br.*: ὧν ἀργὸς A; Οὔραργος *He.*, Ὅμαργος *Bergkius*, ὧν Λάβρος (Ovid. v. 224) *Sommerus* 7. οὗτοι δ' *R: οὗ δ' A τ' *R: δ' edd. ἔδαψαν A, corr. *Ruhnkenius* 8. ἐπέσσυθον A, corr. *Scaliger* 13. κύβαλα ex schol. Hom. *Z* 131 corr. *Aeg.* 16. ἐπὶ Ἰνδοὺς aut delendum est cum *Hr.* aut scribendum ἐπὶ Ἰνδοὺς ⟨στρατεύσας⟩ (conf. Diod. IV 3, 1) 17. Στρυμόνα ποταμὸν οἳ A, transpos. *Aeg.* 18. πρῶτος del. *He.*, ὑβρίσας πρῶτον *Hr.* 19. τὴν Νηρέως om. schol. Hom. *Hr.* 19 s. ὑπὸ Θέτιδος ὑπολαμβάνεται καὶ Εὐρυνόμης schol. Hom.

4 επόμενον Σατύρων πλῆθος αὐτῷ. αὖθις δὲ αἱ Βάκχαι 35
ἐλύθησαν ἐξαίφνης, Λυκούργῳ δὲ μανίαν ἐνεποίησε
Διόνυσος. ὁ δὲ μεμηνὼς Δρύαντα τὸν παῖδα, ἀμπέλου
νομίζων κλῆμα κόπτειν, πελέκει πλήξας ἀπέκτεινε, καὶ
5 ἀκρωτηριάσας αὐτὸν ἐσωφρόνησε. τῆς δὲ γῆς ἀκάρπου
μενούσης, ἔχρησεν ὁ θεὸς καρποφορήσειν αὐτήν, ἂν
θανατωθῇ Λυκοῦργος. Ἠδωνοὶ δὲ ἀκούσαντες εἰς τὸ
Παγγαῖον αὐτὸν ἀπαγαγόντες ὄρος ἔδησαν, κἀκεῖ κατὰ
Διονύσου βούλησιν ὑπὸ ἵππων διαφθαρεὶς ἀπέθανε.
2 διελθὼν δὲ Θρᾴκην [καὶ τὴν Ἰνδικὴν ἅπασαν, 36
στήλας ἐκεῖ στήσας] ἧκεν εἰς Θήβας, καὶ τὰς γυναῖκας
ἠνάγκασε καταλιπούσας τὰς οἰκίας βακχεύειν ἐν τῷ
2 Κιθαιρῶνι. Πενθεὺς δὲ γεννηθεὶς ἐξ Ἀγαυῆς Ἐχίονι,
παρὰ Κάδμου εἰληφὼς τὴν βασιλείαν, διεκώλυε ταῦτα
γίνεσθαι, καὶ παραγενόμενος εἰς Κιθαιρῶνα τῶν Βακ-
χῶν κατάσκοπος ὑπὸ τῆς μητρὸς Ἀγαυῆς κατὰ μανίαν
3 ἐμελίσθη· ἐνόμισε γὰρ αὐτὸν θηρίον εἶναι. δείξας δὲ 37
Θηβαίοις ὅτι θεός ἐστιν, ἧκεν εἰς Ἄργος, κἀκεῖ πάλιν
οὐ τιμώντων αὐτὸν ἐξέμηνε τὰς γυναῖκας. αἱ δὲ ἐν
τοῖς ὄρεσι τοὺς ἐπιμαστιδίους ἔχουσαι παῖδας τὰς σάρ-
3 κας αὐτῶν ἐσιτοῦντο. βουλόμενος δὲ ἀπὸ τῆς Ἰκαρίας
εἰς Νάξον διακομισθῆναι, Τυρρηνῶν λῃστρικὴν ἐμισθώ-
σατο τριήρη. οἱ δὲ αὐτὸν ἐνθέμενοι Νάξον μὲν παρ- 38
έπλεον, ἠπείγοντο δὲ εἰς τὴν Ἀσίαν ἀπεμπολήσοντες.
2 ὁ δὲ τὸν μὲν ἱστὸν καὶ τὰς κώπας ἐποίησεν ὄφεις, τὸ

1. *αὐτῷ* del. *He.* 2. *ἐποίησε* A, corr. *He.* 5. *ἑαυτὸν* *Aeg.* (*G. Hermannus* Opusc. V p. 5) *ἐσωφρόνισε* A, corr. *Aeg.* 8. *παγγαῖον* R: *παγκαῖον* A 10 s. uncis inclusa del. *He.* 13. *κἀκεῖ* A: *κἀκείνων* *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429 20. *ἔχουσαι*] *ἕψουσαι* *A. Ludwich* Mus. Rhen. XXXVI p. 464 21. *βαλόμενος* R, corr. man. 1 22. *πυρρηνῶν* RR[a] 24. *τὴν* * A, om. edd. recc. 25. *ἱστὸν* *Aeg.*: *ἰσθμὸν* A *καὶ*] R fol. 17[v]

δὲ σκάφος ἔπλησε κισσοῦ καὶ βοῆς αὐλῶν· οἱ δὲ ἐμ-
μανεῖς γενόμενοι κατὰ τῆς θαλάττης ἔφυγον καὶ ἐγέ-
νοντο δελφῖνες. ὡς δὲ μαθόντες αὐτὸν θεὸν ἄνθρωποι 3
ἐτίμων, ὁ δὲ ἀναγαγὼν ἐξ Ἅιδου τὴν μητέρα, καὶ προσ-
αγορεύσας Θυώνην, μετ' αὐτῆς εἰς οὐρανὸν ἀνῆλθεν.
39 ὁ δὲ Κάδμος μετὰ Ἁρμονίας Θήβας ἐκλιπὼν πρὸς 4
Ἐγχελέας παραγίνεται. τούτοις δὲ ὑπὸ Ἰλλυριῶν πολε-
μουμένοις ὁ θεὸς ἔχρησεν Ἰλλυριῶν κρατήσειν, ἐὰν
ἡγεμόνας Κάδμον καὶ Ἁρμονίαν ἔχωσιν. οἱ δὲ πεισθέν- 2
τες ποιοῦνται κατὰ Ἰλλυριῶν ἡγεμόνας τούτους καὶ
κρατοῦσι. καὶ βασιλεύει Κάδμος Ἰλλυριῶν, καὶ παῖς
Ἰλλυριὸς αὐτῷ γίνεται. αὖθις δὲ μετὰ Ἁρμονίας εἰς
δράκοντα μεταβαλὼν εἰς Ἠλύσιον πεδίον ὑπὸ Διὸς ἐξ-
επέμφθη.
40 Πολύδωρος δὲ Θηβῶν βασιλεὺς γενόμενος Νυκτηίδα 5
γαμεῖ, Νυκτέως ⟨τοῦ⟩ Χθονίου θυγατέρα, καὶ γεννᾷ
Λάβδακον. οὗτος ἀπώλετο, μετὰ Πενθέα ἐκείνῳ φρο-
νῶν παραπλήσια. καταλιπόντος δὲ Λαβδάκου παῖδα 2
ἐνιαυσιαῖον Λάιον, τὴν ἀρχὴν ἀφείλετο Λύκος, ἕως
41 οὗτος ἦν παῖς, ἀδελφὸς ὢν Νυκτέως. ἀμφότεροι δὲ 3
φυγόντες, ἐπεὶ Φλεγύαν ἀπέκτειναν τὸν Ἄρεος καὶ
Δωτίδος τῆς Βοιωτίδος, Ὑρίαν κατῴκουν, καὶ . . . διὰ
τὴν πρὸς Πενθέα οἰκειότητα ἐγεγόνεσαν πολῖται. αἱρε- 4

7. Ἐγχελέας R: ἀγχελέας A 9. ἡγεμόνα A, corr. *Sommerus* 10. κατὰ Ἰλλυριῶν del. *Hr.* 13. ἐξεπέμφθησαν A, corr. *He.* 16. Νυκτέως τοῦ Χθονίου] Nycteus Hyriei filius est III 111 τοῦ add. *Aeg.* 17 ss. λαύδακον vel λάνδακον A 17. κατὰ Πενθέα *Siebelis* (virgulam, quae erat post Πενθέα, transposui ante μετὰ) 19 s. ἕως — παῖς del. *He.* 20. δὲ] ἀπὸ Εὐβοίας add. A, del. *He.* (ἀπὸ Περραιβίας *Ungerus*) 22. δωτίδος R man. 1: θωτίδος R man. 2, A τῆς Βοιωτίδος del. *He.* συρίαν A, corr. *He.* lacunam sic explevit *He.*: ἐκεῖθεν ἐλθόντες εἰς Θήβας 23. γεγόνεσαν R R[a]: ἐγεγόνεισαν A

θεὶς οὖν Λύκος πολέμαρχος ὑπὸ Θηβαίων ἐπέθετο τῇ
δυναστείᾳ, καὶ βασιλεύσας ἔτη εἴκοσι, φονευθεὶς ὑπὸ
5 Ζήθου καὶ Ἀμφίονος θνήσκει δι' αἰτίαν τήνδε. Ἀντιό- 42
πη θυγάτηρ ἦν Νυκτέως· ταύτῃ Ζεὺς συνῆλθεν. ἡ δὲ
ὡς ἔγκυος ἐγένετο, τοῦ πατρὸς ἀπειλοῦντος εἰς Σικυῶνα
6 ἀποδιδράσκει πρὸς Ἐπωπέα καὶ τούτῳ γαμεῖται. Νυ-
κτεὺς δὲ ἀθυμήσας ἑαυτὸν φονεύει, δοὺς ἐντολὰς Λύκῳ
παρὰ Ἐπωπέως καὶ παρὰ Ἀντιόπης λαβεῖν δίκας. ὁ δὲ
στρατευσάμενος Σικυῶνα χειροῦται, καὶ τὸν μὲν Ἐπω-
7 πέα κτείνει, τὴν δὲ Ἀντιόπην ἤγαγεν αἰχμάλωτον. ἡ δὲ 43
ἀγομένη δύο γεννᾷ παῖδας ἐν Ἐλευθεραῖς τῆς Βοιωτίας,
οὓς ἐκκειμένους εὑρὼν βουκόλος ἀνατρέφει, καὶ τὸν
μὲν καλεῖ Ζῆθον τὸν δὲ Ἀμφίονα. Ζῆθος μὲν οὖν ἐπ-
εμελεῖτο βουφορβίων, Ἀμφίων δὲ κιθαρῳδίαν ἤσκει,
8 δόντος αὐτῷ λύραν Ἑρμοῦ. Ἀντιόπην δὲ ᾐκίζετο Λύκος
καθείρξας καὶ ἡ τούτου γυνὴ Δίρκη· λαθοῦσα δέ ποτε,
τῶν δεσμῶν αὐτομάτων λυθέντων, ἧκεν ἐπὶ τὴν τῶν
9 παίδων ἔπαυλιν, δεχθῆναι πρὸς αὐτῶν θέλουσα. οἱ δὲ 44
ἀναγνωρισάμενοι τὴν μητέρα, τὸν μὲν Λύκον κτείνουσι,
τὴν δὲ Δίρκην δήσαντες ἐκ ταύρου ῥίπτουσι θανοῦσαν
10 εἰς κρήνην τὴν ἀπ' ἐκείνης καλουμένην Δίρκην. παρα-
λαβόντες δὲ τὴν δυναστείαν τὴν μὲν πόλιν ἐτείχισαν,
ἐπακολουθησάντων τῇ Ἀμφίονος λύρᾳ τῶν λίθων,
Λάιον δὲ ἐξέβαλον. ὁ δὲ ἐν Πελοποννήσῳ διατελῶν

1. ἐπέθετο *E: ἐπετίθετο A, conf. Epit. Vat. p. 86 2. εἴκοσι A: δεκαοκτώ E 7. ἐντολὰς *ERS p. 192, 1: ἐντολὴν A 8. παρὰ . . . παρὰ ESR: περὶ . . . περὶ A 10. ἤγαγεν SA: ἄγει E 11. παῖδας EA] ἐκ Διὸς add. S ἐνελευθέραις S: ἐν ἐλευθέρῳ A 14. βουφορβίων ES: βουφοραίων A 17. αὐτομάτων ESA: αὐτομάτως *He.* 19. ἀναγνωρισάμενοι ESA: ἀναγνωρίσαντες *Hr.* 20. ῥίπτουσι θανοῦσαν *ES: θανοῦσαν ῥίπτουσι A 24. πελλοποννήσῳ R

ἐπιξενοῦται Πέλοπι, καὶ τούτου παῖδα Χρύσιππον ἁρ-
ματοδρομεῖν διδάσκων ἐρασθεὶς ἀναρπάζει.
45 γαμεῖ δὲ Ζῆθος μὲν Θήβην, ἀφ' ἧς ἡ πόλις Θῆβαι, 6
Ἀμφίων δὲ Νιόβην τὴν Ταντάλου, ἣ γεννᾷ παῖδας μὲν
ἑπτά, Σίπυλον Εὐπίνυτον Ἰσμηνὸν Δαμασίχθονα Ἀγή-
νορα Φαίδιμον Τάνταλον, θυγατέρας δὲ τὰς ἴσας, Ἐθο-
δαΐαν (ἢ ὥς τινες Νέαιραν) Κλεόδοξαν Ἀστυόχην
Φθίαν Πελοπίαν Ἀστυκράτειαν Ὠγυγίαν. Ἡσίοδος δὲ 2
δέκα μὲν υἱοὺς δέκα δὲ θυγατέρας, Ἡρόδωρος δὲ δύο
μὲν ἄρρενας τρεῖς δὲ θηλείας, Ὅμηρος δὲ ἓξ μὲν υἱοὺς
46 ἓξ δὲ θυγατέρας φησὶ γενέσθαι. εὔτεκνος δὲ οὖσα Νιόβη
τῆς Λητοῦς εὐτεκνοτέρα εἶπεν ὑπάρχειν· Λητὼ δὲ ἀγα- 3
νακτήσασα τήν τε Ἄρτεμιν καὶ τὸν Ἀπόλλωνα κατ' αὐ-
τῶν παρώξυνε, καὶ τὰς μὲν θηλείας ἐπὶ τῆς οἰκίας
κατετόξευσεν Ἄρτεμις, τοὺς δὲ ἄρρενας κοινῇ πάντας
ἐν Κιθαιρῶνι Ἀπόλλων κυνηγετοῦντας ἀπέκτεινεν. ἐσώ- 4
θη δὲ τῶν μὲν ἀρρένων Ἀμφίων, τῶν δὲ θηλειῶν
47 Χλωρὶς ἡ πρεσβυτέρα, ᾗ Νηλεὺς συνῴκησε. κατὰ δὲ
Τελέσιλλαν ἐσώθησαν Ἀμύκλας καὶ Μελίβοια, ἐτοξεύθη
δὲ ὑπ' αὐτῶν καὶ Ἀμφίων. αὐτὴ δὲ Νιόβη Θήβας 5
ἀπολιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἧκεν εἰς Σί-

1. ἁρματοδραμεῖν A, corr. *Lobeckius* 4 ss. de Niobae liberis conf. schol. Eurip. Phoen. 159, Hyg. fab. 11 5. *Εὐπίνυτον* Tzetz. Chil. IV 421 Hyg. *Munckerus*: μίνυτον A ἰσμηνὸν R: ἴσμην A 7. νέαιραν R O R[a]: καίραν A 8. φθίαν R: φθέαν A πελο^π' R man. 1, -ιαν add. man. 2: πελόπιν R[a] *B* V πελόπην *C*, Πελόπειαν *L. Dindorfius* Hesiod. frg. 61 Rz. 9. ἡρόδοτος A, corr. *Aeg.* Herodor. frg. 6 (FHG. II p. 29) δύο A: δ' *Valckenarius* 10. Hom. Ω 602 ss. 17. Ἀμφίων] explic. R fol. 17[v] 18. χωρὶς A, corr. in LT man. 2 19. τελεσίαν R[a] *B* Telesill. frg. 5 Bgk. ἀμύκλας A (conf. Paus. II 21, 9): Ἀμύκλα edd. praeter *Westermannum* 20. ὑπ' αὐτῶν del. *He.* καὶ] Ζῆθος καὶ add. A, del. *He.* δὲ om. *B.* 21. εἰς πύλον *C*

*πυλον, κἀκεῖ Διὶ εὐξαμένη τὴν μορφὴν εἰς λίθον μετέ-
βαλε, καὶ χεῖται δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν τοῦ
λίθου.*

7 *μετὰ δὲ τὴν Ἀμφίονος τελευτὴν Λάιος τὴν βασι-* 48
*λείαν παρέλαβε. καὶ γήμας θυγατέρα Μενοικέως, ἣν
ἔνιοι μὲν Ἰοκάστην ἔνιοι δὲ Ἐπικάστην λέγουσι, χρή-
σαντος τοῦ θεοῦ μὴ γεννᾶν (τὸν γεννηθέντα γὰρ πατρο-
κτόνον ἔσεσθαι) ὁ δὲ οἰνωθεὶς συνῆλθε τῇ γυναικί.*
2 *καὶ τὸ γεννηθὲν ἐκθεῖναι δίδωσι νομεῖ, περόναις δια-
τρήσας τὰ σφυρά. ἀλλ' οὗτος μὲν ἐξέθηκεν εἰς Κιθαι-* 49
*ρῶνα, Πολύβου δὲ βουκόλοι, τοῦ Κορινθίων βασιλέως,
τὸ βρέφος εὑρόντες πρὸς τὴν αὐτοῦ γυναῖκα Περίβοιαν*
3 *ἤνεγκαν. ἡ δὲ ἀνελοῦσα ὑποβάλλεται, καὶ θεραπεύσασα
τὰ σφυρὰ Οἰδίπουν καλεῖ, τοῦτο θεμένη τὸ ὄνομα διὰ
τὸ τοὺς πόδας ἀνοιδῆσαι. τελειωθεὶς δὲ ὁ παῖς, καὶ* 50
διαφέρων τῶν ἡλίκων ῥώμῃ, διὰ φθόνον ὠνειδίζετο
4 *ὑπόβλητος. ὁ δὲ πυνθανόμενος παρὰ τῆς Περιβοίας
μαθεῖν οὐκ ἠδύνατο· ἀφικόμενος δὲ εἰς Δελφοὺς περὶ
τῶν ἰδίων ἐπυνθάνετο γονέων. ὁ δὲ θεὸς εἶπεν αὐτῷ
εἰς τὴν πατρίδα μὴ πορεύεσθαι· τὸν μὲν γὰρ πατέρα*
5 *φονεύσειν, τῇ μητρὶ δὲ μιγήσεσθαι. τοῦτο ἀκούσας,* 51
*καὶ νομίζων ἐξ ὧν ἐλέγετο γεγεννῆσθαι, Κόρινθον μὲν
ἀπέλιπεν, ἐφ' ἅρματος δὲ διὰ τῆς Φωκίδος φερόμενος
συντυγχάνει κατά τινα στενὴν ὁδὸν ἐφ' ἅρματος ὀχου-
μένῳ Λαΐῳ. καὶ Πολυφόντου (κῆρυξ δὲ οὗτος ἦν*

2s. *καὶ — λίθου* del. *Hr.*; senarii vestigia agnovit *Mitscherlichius*, qui delet *τοῦ λίθου* 11. *κορινθίου B* 16. *ῥώμῃ* *E: *ἐν ῥώμῃ* A, *ἐπὶ ῥώμῃ* Zenob. II 68 *φθόνον* E: *φόνον* A 17. *ὑπόβλητος* E A] *εἶναι* add. Zenob. *παρὰ* E: *περὶ* A 18. *ἠδύνατο* E A: *ἐδύνατο* edd. recc. 21. *μητρὶ δὲ* *E Zenob.: *δὲ μητρὶ* A 22. *ἔλεγε* E A Zenob., corr. *Valckenarius* *γεγεννῆσθαι* E Zenob.: *γεγενῆσθαι* A 25s. *Πολυφόντου* . . . *κελεύοντος* *E (*κελεύοντος τοῦ κήρυκος* Zenob.): *Πολυφόντῃ* . . .

Λαΐου⟩· κελεύοντος ἐκχωρεῖν καὶ δι' ἀπείθειαν καὶ 6
ἀναβολὴν κτείναντος τῶν ἵππων τὸν ἕτερον, ἀγανακτή-
σας Οἰδίπους καὶ Πολυφόντην καὶ Λάιον ἀπέκτεινε,
52 καὶ παρεγένετο εἰς Θήβας. Λάιον μὲν οὖν θάπτει 8
βασιλεὺς Πλαταιέων Δαμασίστρατος, τὴν δὲ βασιλείαν
Κρέων ὁ Μενοικέως παραλαμβάνει. τούτου δὲ βασι-
λεύοντος οὐ μικρὰ συμφορὰ κατέσχε Θήβας. ἔπεμψε 2
γὰρ Ἥρα Σφίγγα, ἣ μητρὸς μὲν Ἐχίδνης ἦν πατρὸς
δὲ Τυφῶνος, εἶχε δὲ πρόσωπον μὲν γυναικός, στῆθος
δὲ καὶ βάσιν καὶ οὐρὰν λέοντος καὶ πτέρυγας ὄρνιθος.
μαθοῦσα δὲ αἴνιγμα παρὰ μουσῶν ἐπὶ τὸ Φίκιον ὄρος 3
53 ἐκαθέζετο, καὶ τοῦτο προύτεινε Θηβαίοις. ἦν δὲ τὸ
αἴνιγμα· τί ἐστιν ὃ μίαν ἔχον φωνὴν τετράπουν καὶ
δίπουν καὶ τρίπουν γίνεται; χρησμοῦ δὲ Θηβαίοις 4
ὑπάρχοντος τηνικαῦτα ἀπαλλαγήσεσθαι τῆς Σφιγγὸς
ἡνίκα ἂν τὸ αἴνιγμα λύσωσι, συνιόντες εἰς ταὐτὸ πολ-
λάκις ἐζήτουν τί τὸ λεγόμενόν ἐστιν, ἐπεὶ δὲ μὴ εὕ-
54 ρισκον, ἁρπάσασα ἕνα κατεβίβρωσκε. πολλῶν δὲ ἀπο- 5
λομένων, καὶ τὸ τελευταῖον Αἵμονος τοῦ Κρέοντος,
κηρύσσει Κρέων τῷ τὸ αἴνιγμα λύσοντι καὶ τὴν βασι-
λείαν καὶ τὴν Λαΐου δώσειν γυναῖκα. Οἰδίπους δὲ 6
ἀκούσας ἔλυσεν, εἰπὼν τὸ αἴνιγμα τὸ ὑπὸ τῆς Σφιγγὸς

καὶ κελεύσαντος A, conf. Comm. Ribb. p. 136 5. πλαταιέων E: πλατυμέων E 6. μενοικέως E: μενοικεὺς A 11. αἴνιγμα E: αἰνίγματα A φίκιον *EA: Φίκειον edd., sed conf. Hes. Scut. 33, Steph. Byz. s. v. 13. φωνὴν A (Asclepiad. ap. schol. Eurip. Phoen. 50, Ath. X p. 456 b, Anth. Pal. XIV 64): μορφὴν E Tzetz. Lycophr. 7 codd. Ciz. et Vitt. 1 (Aristoph. arg. in Eurip. Phoen.) 16. συνιόντες εἰς ταὐτὸ E: καὶ συνιόντες εἰς αὐτὸ A 17. ἐζήτουν E: ἐζήτει A ἐπεὶ *He.*: ἐπὰν EA εὕρισκον EA: εὑρίσκοιεν *Sommerus* 18. ἁρπάσας A ἁρπάζουσα E, corr. *Fab.* πολλῶν E: πολλάκις A ἀπολλομένων E: ἀπολλυμένων A 20. λύσοντι EA Zenob.: λύσαντι *Hr.* 22. ἔλυσεν om. *B* 22 s. τὸ αἴνιγμα — λεγόμενον EA, del. *Hr.*

λεγόμενον ἄνθρωπον εἶναι· γίνεσθαι γὰρ τετράπουν
βρέφος ὄντα τοῖς τέτταρσιν ὀχούμενον κώλοις, τελειού-
μενον δὲ δίπουν, γηρῶντα δὲ τρίτην προσλαμβάνειν
7 βάσιν τὸ βάκτρον. ἡ μὲν οὖν Σφὶγξ ἀπὸ τῆς ἀκρο- 55
πόλεως ἑαυτὴν ἔρριψεν, Οἰδίπους δὲ καὶ τὴν βασιλείαν
παρέλαβε καὶ τὴν μητέρα ἔγημεν ἀγνοῶν, καὶ παῖδας
ἐτέκνωσεν ἐξ αὐτῆς Πολυνείκην καὶ Ἐτεοκλέα, θυγα-
τέρας δὲ Ἰσμήνην καὶ Ἀντιγόνην. εἰσὶ δὲ οἳ γεννη-
θῆναι τὰ τέκνα φασὶν ἐξ Εὐρυγανείας αὐτῷ τῆς Ὑπέρ-
9 φαντος. φανέντων δὲ ὕστερον τῶν λανθανόντων, 56
Ἰοκάστη μὲν ἐξ ἀγχόνης ἑαυτὴν ἀνήρτησεν, Οἰδίπους
δὲ τὰς ὄψεις τυφλώσας ἐκ Θηβῶν ἠλαύνετο, ἀρὰς τοῖς
παισὶ θέμενος, οἳ τῆς πόλεως αὐτὸν ἐκβαλλόμενον
2 θεωροῦντες οὐκ ἐπήμυναν. παραγενόμενος δὲ σὺν
Ἀντιγόνῃ τῆς Ἀττικῆς εἰς Κολωνόν, ἔνθα τὸ τῶν
Εὐμενίδων ἐστὶ τέμενος, καθίζει ἱκέτης, προσδεχθεὶς
ὑπὸ Θησέως, καὶ μετ' οὐ πολὺν χρόνον ἀπέθανεν.
6 Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης περὶ τῆς βασιλείας 57
συντίθενται πρὸς ἀλλήλους, καὶ αὐτοῖς δοκεῖ τὸν ἕτε-
ρον παρ' ἐνιαυτὸν ἄρχειν. τινὲς μὲν οὖν λέγουσι πρῶ-
τον ἄρξαντα Πολυνείκη παραδοῦναι μετ' ἐνιαυτὸν τὴν
βασιλείαν Ἐτεοκλεῖ, τινὲς δὲ πρῶτον Ἐτεοκλέα ἄρξαντα
2 μὴ βούλεσθαι παραδοῦναι τὴν βασιλείαν. φυγαδευθεὶς 58
οὖν Πολυνείκης ἐκ Θηβῶν ἧκεν εἰς Ἄργος, τόν τε

1. γίνεσθαι *E: γεννᾶσθαι A 2. ὄντα * add. E τέσ-σαρσιν E 3. δὲ *E: δὲ τὸν ἄνθρωπον A 6. παῖδας ⟨μὲν⟩ *Hr.*
7. πολυνείκην *E Zenob.: πολυνείκη A 9. εὐρυγενείας A, corr. *He.* αὐτῶν A, om. *Aeg.*, corr. *Westermannus* Ὑπέρ-φαντος *Aeg.*: τεύθραντος A (conf. *E. Bethe*, Theb. Heldenl. p. 24 adn.) 17. καὶ ante προσδεχθεὶς transpos. *Mendelssohnius* Act. soc. phil. Lips. IV p. 334 18. ἐτεοκλέα *B* 21. ἄρ-ξαντος Πολυνείκους A, corr. *Hr.* 22. ἐτεοκλέους ἄρξαντος A Zenob. I 30, corr. *Fab.*

ὅρμον καὶ τὸν πέπλον ἔχων. ἐβασίλευε δὲ Ἄργους
Ἄδραστος ὁ Ταλαοῦ· καὶ τοῖς τούτου βασιλείοις νύκτωρ
προσπελάζει, καὶ συνάπτει μάχην Τυδεῖ τῷ Οἰνέως
59 φεύγοντι Καλυδῶνα. γενομένης δὲ ἐξαίφνης βοῆς ἐπι- 3
φανεὶς Ἄδραστος διέλυσεν αὐτούς, καὶ μάντεώς τινος
ὑπομνησθεὶς λέγοντος αὐτῷ κάπρῳ καὶ λέοντι συζεῦξαι
τὰς θυγατέρας, ἀμφοτέρους εἵλετο νυμφίους· εἶχον γὰρ
ἐπὶ τῶν ἀσπίδων ὁ μὲν κάπρου προτομὴν ὁ δὲ λέον-
τος. γαμεῖ δὲ Δηιπύλην μὲν Τυδεὺς Ἀργείην δὲ Πολυ- 4
νείκης, καὶ αὐτοὺς Ἄδραστος ἀμφοτέρους εἰς τὰς
πατρίδας ὑπέσχετο κατάξειν. καὶ πρῶτον ἐπὶ Θήβας
ἔσπευδε στρατεύεσθαι, καὶ τοὺς ἀριστέας συνήθροιζεν.
60 Ἀμφιάραος δὲ ὁ Ὀικλέους, μάντις ὢν καὶ προειδὼς 2
ὅτι δεῖ πάντας τοὺς στρατευσαμένους χωρὶς Ἀδράστου
τελευτῆσαι, αὐτός τε ὤκνει στρατεύεσθαι καὶ τοὺς λοι-
ποὺς ἀπέτρεπε. Πολυνείκης δὲ ἀφικόμενος πρὸς Ἶφιν 2
τὸν Ἀλέκτορος ἠξίου μαθεῖν πῶς ἂν Ἀμφιάραος ἀναγ-
κασθείη στρατεύεσθαι· ὁ δὲ εἶπεν εἰ λάβοι τὸν ὅρμον
61 Ἐριφύλη. Ἀμφιάραος μὲν οὖν ἀπεῖπεν Ἐριφύλῃ παρὰ 3
Πολυνείκους δῶρα λαμβάνειν, Πολυνείκης δὲ δοὺς αὐ-
τῇ τὸν ὅρμον ἠξίου τὸν Ἀμφιάραον πεῖσαι στρατεύειν.
ἦν γὰρ ἐπὶ ταύτῃ· γενομένης γὰρ †αὐτῆς πρὸς Ἄδρα- 4
στον, διαλυσάμενος ὤμοσε, περὶ ὧν ⟨ἂν⟩ Ἀδράστῳ

4. Καλυδῶνα] ἐκ Καλυδῶνος δι' ὃν εἰργάσατο φόνον Zenob. 13. ἰοκλέους A, corr. *Aeg.* 22. ταύτης A, corr. *He.* αὐτῆς A: ὀργῆς *Gal.*, αἰτίας *Emperius*, αὐτῷ μάχης *He. Br.*, αὐτῷ διαφορᾶς *Hr.*, lacunam post αὐτῆς indicavit *Schwenckius* Mus. Rhen. XIII p. 145; conf. Asclepiad. ap. schol. Hom. λ 326: διενεχθεὶς ὑπέρ τινων πρὸς Ἄδραστον, καὶ πάλιν διαλυθεὶς ὁρκούμενος (l. ὁρκούμενοι) ὡμολόγησαν ὑπὲρ ὧν ἂν διαφέρωνται πρὸς ἀλλήλους αὐτός τε καὶ Ἄδραστος ἐπιτρέψειν Ἐριφύλην (l. Ἐριφύλῃ) κρίνειν 23. ἂν add. *Br.* ἄδραστος A, corr. *Emperius*

5 διαφέρηται, διακρίνειν Ἐριφύλῃ συγχωρῆσαι. ὅτε οὖν 62
ἐπὶ Θήβας ἔδει στρατεύειν, Ἀδράστου μὲν παρακαλοῦν-
τος Ἀμφιαράου δὲ ἀποτρέποντος, Ἐριφύλη τὸν ὅρμον
6 λαβοῦσα ἔπεισεν αὐτὸν σὺν Ἀδράστῳ στρατεύειν. Ἀμ-
φιάραος δὲ ἀνάγκην ἔχων στρατεύεσθαι τοῖς παισὶν
ἐντολὰς ἔδωκε τελειωθεῖσι τήν τε μητέρα κτείνειν καὶ
ἐπὶ Θήβας στρατεύειν.

3 Ἄδραστος δὲ συναθροίσας ⟨στρατὸν⟩ σὺν ἡγεμό- 63
σιν ἑπτὰ πολεμεῖν ἔσπευδε Θήβας. οἱ δὲ ἡγεμόνες
ἦσαν οἵδε· Ἄδραστος Ταλαοῦ, Ἀμφιάραος Ὀικλέους,
Καπανεὺς Ἱππονόου, Ἱππομέδων Ἀριστομάχου, οἱ δὲ
2 λέγουσι Ταλαοῦ. οὗτοι μὲν ἐξ Ἄργους, Πολυνείκης
⟨δὲ⟩ Οἰδίποδος ἐκ Θηβῶν, Τυδεὺς Οἰνέως Αἰτωλός,
Παρθενοπαῖος Μελανίωνος Ἀρκάς. τινὲς δὲ Τυδέα
μὲν καὶ Πολυνείκην οὐ καταριθμοῦσι, συγκαταλέγουσι
δὲ τοῖς ἑπτὰ Ἐτέοκλον Ἴφιος καὶ Μηκιστέα.

4 παραγενόμενοι δὲ εἰς Νεμέαν, ἧς ἐβασίλευε Λυ- 64
κοῦργος, ἐζήτουν ὕδωρ. καὶ αὐτοῖς ἡγήσατο τῆς ἐπὶ
κρήνην ὁδοῦ Ὑψιπύλη, νήπιον παῖδα ὄντα Ὀφέλτην
ἀπολιποῦσα, ὃν ἔτρεφεν Εὐρυδίκης ὄντα καὶ Λυκούρ-
2 γου. αἰσθόμεναι γὰρ αἱ Λήμνιαι ὕστερον Θόαντα σε- 65
σωσμένον ἐκεῖνον μὲν ἔκτειναν, τὴν δὲ Ὑψιπύλην ἀπ-
ημπόλησαν· διὸ πραθεῖσα ἐλάτρευε παρὰ Λυκούργῳ.
δεικνυούσης δὲ τὴν κρήνην, ὁ παῖς ἀπολειφθεὶς ὑπὸ
3 δράκοντος διαφθείρεται. τὸν μὲν οὖν δράκοντα ἐπι-

1. ἐριφύλῃ V: ἐριφύλην A 4. αὐτὸν σὺν Ἀδράστῳ * scripsi: τὸν ὦ ἄδραστων PR^b τῶν ἄδρασων R^c τῷ ἀδράστῳ *C*; τὸν ἄνδρα *Com.*, τὸν Ἀμφιάραον *Clavierius* 8. στρατὸν add. *He.* 10. ἰοκλέους A 13. δὲ add. *Br.* 16. ἴφιον A, corr. *Gal.* 19. Ὑψιπύλη] ἥτις add. A, del. *Com.* ὄντα del. *Hr.* 22. ἀπεμπόλησαν A, corr. *Hr.* 23. πραφεῖσα P τραφεῖσα A, corr. *He.* 24. ἀπολειφθεὶς del. *Hr.*

φανέντες οἱ μετὰ Ἀδράστου κτείνουσι, τὸν δὲ παῖδα
66 θάπτουσιν. Ἀμφιάραος δὲ εἶπεν ἐκείνοις τὸ σημεῖον
τὰ μέλλοντα προμαντεύεσθαι· τὸν δὲ παῖδα Ἀρχέμορον
ἐκάλεσαν. οἱ δὲ ἔθεσαν ἐπ' αὐτῷ τὸν τῶν Νεμέων 4
ἀγῶνα, καὶ ἵππῳ μὲν ἐνίκησεν Ἄδραστος, σταδίῳ δὲ
Ἐτέοκλος, πυγμῇ Τυδεύς, ἅλματι καὶ δίσκῳ Ἀμφιάραος,
ἀκοντίῳ Λαόδοκος, πάλῃ Πολυνείκης, τόξῳ Παρθενο-
παῖος.
67 ὡς δὲ ἦλθον εἰς τὸν Κιθαιρῶνα, πέμπουσι Τυδέα 5
προεροῦντα Ἐτεοκλεῖ τὴν βασιλείαν παραχωρεῖν Πολυ-
νείκει, καθὰ συνέθεντο. μὴ προσέχοντος δὲ Ἐτεοκλέ-
ους, διάπειραν τῶν Θηβαίων Τυδεὺς ποιούμενος, καθ'
ἕνα προκαλούμενος πάντων περιεγένετο. οἱ δὲ πεντή- 2
κοντα ἄνδρας ὁπλίσαντες ἀπιόντα ἐνήδρευσαν αὐτόν·
πάντας δὲ αὐτοὺς χωρὶς Μαίονος ἀπέκτεινε, κἄπειτα
ἐπὶ τὸ στρατόπεδον ἦλθεν.
68 Ἀργεῖοι δὲ καθοπλισθέντες προσῄεσαν τοῖς τείχεσι, 6
καὶ πυλῶν ἑπτὰ οὐσῶν Ἄδραστος μὲν παρὰ τὰς Ὁμο-
λωίδας πύλας ἔστη, Καπανεὺς δὲ παρὰ τὰς Ὠγυγίας,
Ἀμφιάραος δὲ παρὰ τὰς Προιτίδας, Ἱππομέδων δὲ παρὰ
τὰς Ὀγκαΐδας, Πολυνείκης δὲ παρὰ τὰς Ὑψίστας, Παρ-
θενοπαῖος ⟨δὲ⟩ παρὰ τὰς Ἠλέκτρας, Τυδεὺς δὲ παρὰ
69 τὰς Κρηνίδας. καθώπλισε δὲ καὶ Ἐτεοκλῆς Θηβαίους, 2
καὶ καταστήσας ἡγεμόνας ἴσους ἴσοις ἔταξε, καὶ πῶς
ἂν περιγένοιντο τῶν πολεμίων ἐμαντεύετο. ἦν δὲ 7
παρὰ Θηβαίοις μάντις Τειρεσίας Εὐήρους καὶ Χαρι-

2. τὸ σημεῖον] τῷ add. A, del. *He.*; τὸ σημεῖον ⟨τοῦτο⟩ *Fab.* 4. ἐκάλεσεν *Hr.* 6. ἅρματι A, corr. *Valckenarius* 7. Λαόδοκος] non commemoratur in catalogo III 63 9. πέμπουσι] incip. R fol. 19r 10. τῆς βασιλείας *Hr.* 15. μαίωνος A, corr. *Aeg.* 16. ἠλθ R: ἦλθον A 21. Ὀγκαΐδας *Aeg.*: ὀχνηίδας A (Νηίστας *Ungerus*) δὲ add. *He.* 24. ἴσοις om. *B* 26. χαρικλοῦ R: χαρικλέους A

κλοῦς νύμφης, ἀπὸ γένους Οὐδαίου τοῦ Σπαρτοῦ, γενό-
μενος τυφλὸς τὰς ὁράσεις. οὗ περὶ τῆς πηρώσεως καὶ
2 τῆς μαντικῆς λέγονται λόγοι διάφοροι. ἄλλοι μὲν γὰρ 70
αὐτὸν ὑπὸ θεῶν φασι τυφλωθῆναι, ὅτι τοῖς ἀνθρώ-
ποις ἃ κρύπτειν ἤθελον ἐμήνυε, Φερεκύδης δὲ ὑπὸ
Ἀθηνᾶς αὐτὸν τυφλωθῆναι· οὖσαν γὰρ τὴν Χαρικλὼ
3 προσφιλῆ τῇ Ἀθηνᾷ . . . γυμνὴν ἐπὶ πάντα ἰδεῖν, τὴν
δὲ ταῖς χερσὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καταλαβομένην
πηρὸν ποιῆσαι, Χαρικλοῦς δὲ δεομένης ἀποκαταστῆσαι
πάλιν τὰς ὁράσεις, μὴ δυναμένην τοῦτο ποιῆσαι, τὰς
ἀκοὰς διακαθάρασαν πᾶσαν ὀρνίθων φωνὴν ποιῆσαι
συνεῖναι, καὶ σκῆπτρον αὐτῷ δωρήσασθαι κράνειον, ὃ
4 φέρων ὁμοίως τοῖς βλέπουσιν ἐβάδιζεν. Ἡσίοδος δέ 71
φησιν ὅτι θεασάμενος περὶ Κυλλήνην ὄφεις συνουσιά-
ζοντας καὶ τούτους τρώσας ἐγένετο ἐξ ἀνδρὸς γυνή,
πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιά-
5 ζοντας ἐγένετο ἀνήρ. διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβη-
τοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι
μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι, τοῦτον ἀνέκρι-
ναν. ὁ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν 72
τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ ἐννέα γυναῖκας.

3. τῆς * A, om. edd. recc. 5. Pherecyd. frg. 50 7. lacunam indic. *He.* ἐπὶ πάντα A: ἐπιστάντα vel ἐπιβάντα *Gal.*
8. τοὺς ὀφθαλμοὺς del. *Müllerus* αὐτῆς R^{ac} L T τῶν ὀφθαλμῶν αὐτοῦ λαβομένην *Hr.* 11. διακαθάρας ἅπασαν A, corr. *Fab. He.* 12. συνιέναι PR^{c} in marg. κράνειον *Aeg.*: κυάνεον E A 13. ἐβάδιζεν] huc verba ἐγένετο δὲ καὶ πολυχρόνιος ex p. 128, 6 revocanda esse conieceris ex Callim. lav. Pall. 128: δώσω καὶ βιότω τέρμα πολυχρόνιον Hesiod. frg. 190 Rz. 15. ἀνδρὸς E: ἀνδρῶν A 19. ἀνέκρινον A, corr. *He.*
20 s. δέκα . . . τὴν μὲν μίαν . . . τὰς δὲ ἐννέα *Barthius*: δεκαεννέα . . . τὰς μὲν ἐννέα . . . τὰς δὲ δέκα A, quod non librariorum, sed ipsius auctoris erratum esse statuit *O. Immisch* Mus. Rhen. XLVI p. 613 s.

ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ τὴν μαντικὴν 6
αὐτῷ ἔδωκεν.

[τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν·
οἴην μὲν μοῖραν δέκα μοιρῶν τέρπεται ἀνήρ,
τὰς δὲ δέκ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα.]

ἐγένετο δὲ καὶ πολυχρόνιος.

73 οὗτος οὖν Θηβαίοις μαντευομένοις εἶπε νικήσειν, 7
ἐὰν Μενοικεὺς ὁ Κρέοντος Ἄρει σφάγιον αὑτὸν ἐπιδῷ. τοῦτο ἀκούσας Μενοικεὺς ὁ Κρέοντος ἑαυτὸν πρὸ τῶν πυλῶν ἔσφαξε. μάχης δὲ γενομένης οἱ Καδμεῖοι μέχρι 8
τῶν τειχῶν συνεδιώχθησαν, καὶ Καπανεὺς ἁρπάσας κλίμακα ἐπὶ τὰ τείχη δι' αὐτῆς ἀνῄει, καὶ Ζεὺς αὐτὸν
74 κεραυνοῖ. τούτου δὲ γενομένου τροπὴ τῶν Ἀργείων 8
γίνεται. ὡς δὲ ἀπώλλυντο πολλοί, δόξαν ἑκατέροις τοῖς στρατεύμασιν Ἐτεοκλῆς καὶ Πολυνείκης περὶ τῆς βασιλείας μονομαχοῦσι, καὶ κτείνουσιν ἀλλήλους. καρτερᾶς 2
δὲ πάλιν γενομένης μάχης οἱ Ἀστακοῦ παῖδες ἠρίστευσαν· Ἴσμαρος μὲν γὰρ Ἱππομέδοντα ἀπέκτεινε, Λεάδης
75 δὲ Ἐτέοκλον, Ἀμφίδικος δὲ Παρθενοπαῖον. ὡς δὲ Εὐριπίδης φησί, Παρθενοπαῖον ὁ Ποσειδῶνος παῖς Περικλύμενος ἀπέκτεινε. Μελάνιππος δὲ ὁ λοιπὸς τῶν

1. τὴν *A, om. edd. recc. 3 ss. versus recte a *Fabro* seclusi repetuntur schol. QH Hom. κ 494, Tzetz. Lycophr. 683; alteram recensionem servavit schol. Ambr. Lycophr. 683:
ἐννέα μὲν μοίρας· δεκάτην δέ τε [μοῖραν] τέρπεται ἀνήρ,
τὰς δέκα δ' ἐμπίπλησι γυνὴ τέρπουσα νόημα.
conf. *Rzachium* et *Immischium* l. l. 4. μοῖραν * schol. Hom. Tzetz.: μοίρην A μοιρέων *Meinekius* 5. δὲ δέκ' A: δέκα δ' reliqui ἐμπίπλησι *A reliqui: ἐμπίμπλησι edd. νόημα reliqui *Aeg.*: νοήματα A 6. ἐγένετο δὲ καὶ πολυχρόνιος del. *Hr.*, sed conf. schol. Lycophr. et Tzetz. (v. adn. p. 127, 13) 7. μαντευόμενος A, corr. *He.* 13. τρόπαιον A, corr. *He.* 17. Ἀστακοῦ *Aeg.*: ἀστυάγους A 18. Λεάδης] Λόβης ex schol. Hom. Z 396 propos. *Hr.* 20. Eurip. Phoen. 1157

Ἀστακοῦ παίδων εἰς τὴν γαστέρα Τυδέα τιτρώσκει.
3 ἡμιθνῆτος δὲ αὐτοῦ κειμένου παρὰ Διὸς αἰτησαμένη
Ἀθηνᾶ φάρμακον ἤνεγκε, δι' οὗ ποιεῖν ἔμελλεν ἀθά-
νατον αὐτόν. Ἀμφιάραος δὲ αἰσθόμενος τοῦτο, μισῶν 76
Τυδέα ὅτι παρὰ τὴν ἐκείνου γνώμην εἰς Θήβας ἔπεισε
τοὺς Ἀργείους στρατεύεσθαι, τὴν Μελανίππου κεφαλὴν
ἀποτεμὼν ἔδωκεν αὐτῷ (τιτρωσκόμενος δὲ Τυδεὺς
ἔκτεινεν αὐτόν). ὁ δὲ διελὼν τὸν ἐγκέφαλον ἐξερρό-
φησεν. ὡς δὲ εἶδεν Ἀθηνᾶ, μυσαχθεῖσα τὴν εὐεργεσίαν
4 ἐπέσχε τε καὶ ἐφθόνησεν. Ἀμφιαράῳ δὲ φεύγοντι παρὰ 77
ποταμὸν Ἰσμηνόν, πρὶν ὑπὸ Περικλυμένου τὰ νῶτα
τρωθῇ, Ζεὺς κεραυνὸν βαλὼν τὴν γῆν διέστησεν. ὁ
δὲ σὺν τῷ ἅρματι καὶ τῷ ἡνιόχῳ Βάτωνι, ὡς δὲ ἔνιοι
Ἐλάτωνι, ἐκρύφθη, καὶ Ζεὺς ἀθάνατον αὐτὸν ἐποίησεν.
5 Ἄδραστον δὲ μόνον ἵππος διέσωσεν Ἀρείων· τοῦτον
ἐκ Ποσειδῶνος ἐγέννησε Δημήτηρ εἰκασθεῖσα ἐρινύι
κατὰ τὴν συνουσίαν.

7 Κρέων δὲ τὴν Θηβαίων βασιλείαν παραλαβὼν τοὺς 78
τῶν Ἀργείων νεκροὺς ἔρριψεν ἀτάφους, καὶ κηρύξας
μηδένα θάπτειν φύλακας κατέστησεν. Ἀντιγόνη δέ,
μία τῶν Οἰδίποδος θυγατέρων, κρύφα τὸ Πολυνείκους
σῶμα κλέψασα ἔθαψε, καὶ φωραθεῖσα ὑπὸ Κρέοντος

1. Ἀστακοῦ *Westermannus*: ἀστυάγους A εἰς τὴν γαστέρα *A, om. edd. recc. 5. ἐπὶ Θήβας *Hr.* 7 s. τιτρωσκόμενος — αὐτὸν del. *He.* 7. δὲ A: γὰρ *Barthius* 8. post ἐξερρόφησεν·(sic A) αὐτὸν add. A, del. *He.* 11. ἴσμην̀ R: ἰσαδηνὸν R^a ἰωδηνὸν *B* ἰδηνὸν *C* 11 s. ad verba πρὶν — τρωθῇ Pind. Nem. IX 26 excitat *M. Mayer* Herm. XX p. 112 adn.

12. τρωθῆναι *Hr.* 14. ἐλάττω R ἐλάττωνι *R^a: ἐλάττωνον *B* ἐλάττω *C*; Ἐλάτῳ *L. Dindorfius* ἐποί' R ἐποίη R^a: ἐποίει A
15. Ἄδραστον — Ἀρείων] versum latere censet *Westermannus* ἀρίων A, corr. *Gal.* (conf. Eustath. Hom. Ψ 346)
16. ἐριννύι R R^a

79 αὐτοῦ τῷ τάφῳ ζῶσα ἐνεκρύφθη. Ἄδραστος δὲ εἰς 2
Ἀθήνας ἀφικόμενος ἐπὶ τὸν ἐλέου βωμὸν κατέφυγε,
καὶ ἱκετηρίαν θεὶς ἠξίου θάπτειν τοὺς νεκρούς. οἱ δὲ
Ἀθηναῖοι μετὰ Θησέως στρατεύσαντες αἱροῦσι Θήβας
καὶ τοὺς νεκροὺς τοῖς οἰκείοις διδόασι θάψαι. τῆς 3
Καπανέως δὲ καιομένης πυρᾶς, Εὐάδνη, ἡ Καπανέως
μὲν γυνὴ θυγάτηρ δὲ Ἴφιος, ἑαυτὴν ἐμβαλοῦσα συγ-
κατεκαίετο.

80 μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολομένων παῖδες, κλη- 2
θέντες ἐπίγονοι, στρατεύειν ἐπὶ Θήβας προῃροῦντο,
τὸν τῶν πατέρων θάνατον τιμωρήσασθαι βουλόμενοι.
καὶ μαντευομένοις αὐτοῖς ὁ θεὸς ἐθέσπισε νίκην Ἀλ-
81 κμαίωνος ἡγουμένου. ὁ μὲν οὖν Ἀλκμαίων ἡγεῖσθαι 2
τῆς στρατείας οὐ βουλόμενος πρὶν τίσασθαι τὴν μη-
τέρα, ὅμως στρατεύεται· λαβοῦσα γὰρ Ἐριφύλη παρὰ
Θερσάνδρου τοῦ Πολυνείκους τὸν πέπλον συνέπεισε
καὶ τοὺς παῖδας στρατεύεσθαι. οἱ δὲ ἡγεμόνα Ἀλκμαί- 3
82 ωνα ἑλόμενοι Θήβας ἐπολέμουν. ἦσαν δὲ οἱ στρατευό-
μενοι οἵδε· Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου,
Αἰγιαλεὺς Ἀδράστου, Διομήδης Τυδέως, Πρόμαχος
Παρθενοπαίου, Σθένελος Καπανέως, Θέρσανδρος Πο-
83 λυνείκους, Εὐρύαλος Μηκιστέως. οὗτοι πρῶτον μὲν 3
πορθοῦσι τὰς πέριξ κώμας, ἔπειτα τῶν Θηβαίων ἐπελ-
θόντων Λαοδάμαντος τοῦ Ἐτεοκλέους ἡγουμένου γεν-

1. αὐτ˜ *R: αὐτὴν A (αὐτὴν τῷ del. *Hr.*) ζῶσα R: ζῶσαν A ἐνεκρύφθη (-φθη difficile lectu) R: ἐνεκρύφα R^a *B* ἐνεκρύψατο R^c in marg., *C* Ἄδραστος] R fol. 19^v 6. καπανέως δὲ *A: δὲ καπανέως edd. εὐάδνη R: εὐαιάνη A 7. βαλοῦσα A Zenob. I 30, corr. *He.* συγκατεκαύθη Zenob. *Hr.* 9. ἀπολλομένων R R^a *C*: ἀπολλυμένων *B* 13. ἀλκμαίων ἡγούμενος A, corr. *Aeg.* 14. πρὶν — μητέρα del. *He.* 16. τὸν R O R^a: καὶ τὸν *B C* (ἴσως τόν τε ὅρμον V man. 2 in marg.) 18. Θήβαις *Fab.* 22. εὐρύπυλος A, corr. *He.* (conf. I 103)

ναίως μάχονται. καὶ Λαοδάμας μὲν Αἰγιαλέα κτείνει,
2 Λαοδάμαντα δὲ Ἀλκμαίων. καὶ μετὰ τὸν τούτου θά-
νατον Θηβαῖοι συμφεύγουσιν εἰς τὰ τείχη. Τειρεσίου 84
δὲ εἰπόντος αὐτοῖς πρὸς μὲν Ἀργείους κήρυκα περὶ
διαλύσεως ἀποστέλλειν, αὐτοὺς δὲ φεύγειν, πρὸς μὲν
τοὺς πολεμίους κήρυκα πέμπουσιν, αὐτοὶ δὲ ἀναβιβά-
σαντες ἐπὶ τὰς ἀπήνας τέκνα καὶ γυναῖκας ἐκ τῆς πό-
3 λεως ἔφευγον. νύκτωρ δὲ ἐπὶ τὴν λεγομένην Τιλ-
φοῦσσαν κρήνην παραγενομένων αὐτῶν, Τειρεσίας ἀπὸ
ταύτης πιὼν αὐτοῦ τὸν βίον κατέστρεψε. Θηβαῖοι δὲ 85
ἐπὶ πολὺ διελθόντες, πόλιν Ἑστιαίαν κτίσαντες κατῴ-
4 κησαν. Ἀργεῖοι δὲ ὕστερον τὸν δρασμὸν τῶν Θηβαίων
μαθόντες εἰσίασιν εἰς τὴν πόλιν, καὶ συναθροίζουσι
τὴν λείαν, καὶ καθαιροῦσι τὰ τείχη. τῆς δὲ λείας μέρος
εἰς Δελφοὺς πέμπουσιν Ἀπόλλωνι καὶ τὴν Τειρεσίου
θυγατέρα Μαντώ· ηὔξαντο γὰρ αὐτῷ Θήβας ἑλόντες τὸ
κάλλιστον τῶν λαφύρων ἀναθήσειν.

5 μετὰ δὲ τὴν Θηβῶν ἅλωσιν αἰσθόμενος Ἀλκμαίων 86
καὶ ἐπ' αὐτῷ δῶρα εἰληφυῖαν Ἐριφύλην τὴν μητέρα
μᾶλλον ἠγανάκτησε, καὶ χρήσαντος Ἀπόλλωνος αὐτῷ
τὴν μητέρα ἀπέκτεινεν. ἔνιοι μὲν λέγουσι σὺν Ἀμφι-
λόχῳ τῷ ἀδελφῷ κτεῖναι τὴν Ἐριφύλην, ἔνιοι δὲ ὅτι
2 μόνος. Ἀλκμαίωνα δὲ μετῆλθεν ἐρινὺς τοῦ μητρῴου 87
φόνου, καὶ μεμηνὼς πρῶτον μὲν εἰς Ἀρκαδίαν πρὸς
Ὀικλέα παραγίνεται, ἐκεῖθεν δὲ εἰς Ψωφῖδα πρὸς Φηγέα.
καθαρθεὶς δὲ ὑπ' αὐτοῦ Ἀρσινόην γαμεῖ τὴν τούτου

8. Τιλφοῦσσαν *Aeg. He.* (Τιλφῶσσα Herodian. ap. Steph. Byz. s. v. Τέλφουσα): τραφουσίαν A 10. αὐτοῦ del. *Hr.* 18. θηβαίων A, corr. *He.* ἀλκαίων RR[abc] ἀλκιμαίων P 21. μὲν R: μὲν μᾶλλον A (conf. praefat. de cod. R) 25. ἰοκλέα A ψωφίδα A 26. αὐτ῀ R: αὐτῷ A

θυγατέρα, καὶ τόν τε ὅρμον καὶ τὸν πέπλον ἔδωκε ταύτῃ.
88 γενομένης δὲ ὕστερον τῆς γῆς δι' αὐτὸν ἀφόρου, χρή- 3
σαντος αὐτῷ τοῦ θεοῦ πρὸς Ἀχελῷον ἀπιέναι καὶ παρ'
ἐκείνου πάλιν † διαλαμβάνειν, τὸ μὲν πρῶτον πρὸς
Οἰνέα παραγίνεται εἰς Καλυδῶνα καὶ ξενίζεται παρ'
αὐτοῦ, ἔπειτα ἀφικόμενος εἰς Θεσπρωτοὺς τῆς χώρας
ἀπελαύνεται. τελευταῖον δὲ ἐπὶ τὰς Ἀχελῴου πηγὰς 4
παραγενόμενος καθαίρεταί τε ὑπ' αὐτοῦ καὶ τὴν ἐκεί-
νου θυγατέρα Καλλιρρόην λαμβάνει, καὶ ὃν Ἀχελῷος
89 προσέχωσε τόπον κτίσας κατῴκησε. Καλλιρρόης δὲ ὕστε- 5
ρον τόν τε ὅρμον καὶ τὸν πέπλον ἐπιθυμούσης λαβεῖν,
καὶ λεγούσης οὐ συνοικήσειν αὐτῷ εἰ μὴ λάβοι ταῦτα,
παραγενόμενος εἰς Ψωφῖδα Ἀλκμαίων Φηγεῖ λέγει τε-
θεσπίσθαι τῆς μανίας ἀπαλλαγὴν ἑαυτῷ, τὸν ὅρμον
ὅταν εἰς Δελφοὺς κομίσας ἀναθῇ καὶ τὸν πέπλον. ὁ
90 δὲ πιστεύσας δίδωσι· μηνύσαντος δὲ θεράποντος ὅτι 6
Καλλιρρόῃ ταῦτα λαβὼν ἐκόμιζεν, ἐνεδρευθεὶς ὑπὸ τῶν
Φηγέως παίδων ἐπιτάξαντος τοῦ Φηγέως ἀναιρεῖται.
Ἀρσινόην δὲ μεμφομένην οἱ τοῦ Φηγέως παῖδες ἐμβι-
βάσαντες εἰς λάρνακα κομίζουσιν εἰς Τεγέαν καὶ δι-
δόασι δούλην Ἀγαπήνορι, καταψευσάμενοι αὐτῆς τὸν
91 Ἀλκμαίωνος φόνον. Καλλιρρόη δὲ τὴν Ἀλκμαίωνος ἀπώ- 6
λειαν μαθοῦσα, πλησιάζοντος αὐτῇ τοῦ Διός, αἰτεῖται

3. αὐτ῀ RR[ab]: αὐτοῦ A 4. ἐκεῖνον A, corr. *Com.* πόλιν διαλαμβάνειν *Aeg.*, πάλιν νοῦν ἀπολαμβάνειν *He.*, παλινδικίαν λαμβάνειν *Br.*; exspectaveris πάλιν διαλλαγὰς λαμβάνειν 6. αὐτ῀ R: αὐτῶν A 8. αὐτ῀ R: αὐτῶν A 9 ss. καλλιρόην A 12. ταῦτα] διὸ add. A, del. *He.* 13. παραγενόμενος (R?): παραγενομένου A ψωφίδα A 14. ἑαυτ῀ R: ἑαυτοῦ A 14 s. τὸν ὅρμον ὅταν *A: ὅταν τὸν (τε add. *Hr.*) ὅρμον *Aeg.* 20. τέγεαν A 20 s. διδόασι δούλην *R: διδόασιν A (parvo spatio relicto in R[a]) 21 s. τὸν ἀλκμαίωνος αὐτῆς A, transpos. *He.* 22. Ἀλκμαίωνος] explic. R fol. 19[v]

τοὺς γεγεννημένους παῖδας ἐξ Ἀλκμαίωνος αὐτῇ γενέ-
σθαι τελείους, ἵνα τὸν τοῦ πατρὸς τίσωνται φόνον. γε-
νόμενοι δὲ ἐξαίφνης οἱ παῖδες τέλειοι ἐπὶ τὴν ἐκδικίαν
2 τοῦ πατρὸς ἐξῄεσαν. κατὰ τὸν αὐτὸν δὲ καιρὸν οἵ τε 92
Φηγέως παῖδες Πρόνοος καὶ Ἀγήνωρ, εἰς Δελφοὺς κο-
μίζοντες ἀναθεῖναι τὸν ὅρμον καὶ τὸν πέπλον, κατα-
λύουσι πρὸς Ἀγαπήνορα, καὶ οἱ τοῦ Ἀλκμαίωνος παῖδες
Ἀμφότερός τε καὶ Ἀκαρνάν· καὶ ἀνελόντες τοὺς τοῦ
πατρὸς φονέας, παραγενόμενοί τε εἰς Ψωφῖδα καὶ παρ-
ελθόντες εἰς τὰ βασίλεια τόν τε Φηγέα καὶ τὴν γυναῖκα
3 αὐτοῦ κτείνουσι. διωχθέντες δὲ ἄχρι Τεγέας ἐπιβοηθη- 93
σάντων Τεγεατῶν καί τινων Ἀργείων ἐσώθησαν, εἰς
7 φυγὴν τῶν Ψωφιδίων τραπέντων. δηλώσαντες δὲ τῇ
μητρὶ ταῦτα, τόν τε ὅρμον καὶ τὸν πέπλον ἐλθόντες εἰς
Δελφοὺς ἀνέθεντο κατὰ πρόσταξιν Ἀχελῴου. πορευ-
θέντες δὲ εἰς τὴν Ἤπειρον συναθροίζουσιν οἰκήτορας
καὶ κτίζουσιν Ἀκαρνανίαν.

2 Εὐριπίδης δέ φησιν Ἀλκμαίωνα κατὰ τὸν τῆς μα- 94
νίας χρόνον ἐκ Μαντοῦς Τειρεσίου παῖδας δύο γεννῆ-
σαι, Ἀμφίλοχον καὶ θυγατέρα Τισιφόνην, κομίσαντα δὲ
εἰς Κόρινθον τὰ βρέφη δοῦναι τρέφειν Κορινθίων βα-
3 σιλεῖ Κρέοντι, καὶ τὴν μὲν Τισιφόνην διενεγκοῦσαν
εὐμορφίᾳ ὑπὸ τῆς Κρέοντος γυναικὸς ἀπεμποληθῆναι,
δεδοικυίας μὴ Κρέων αὐτὴν γαμετὴν ποιήσηται. τὸν 95
δὲ Ἀλκμαίωνα ἀγοράσαντα ταύτην ἔχειν οὐκ εἰδότα τὴν
4 ἑαυτοῦ θυγατέρα θεράπαιναν, παραγενόμενον δὲ εἰς
Κόρινθον ἐπὶ τὴν τῶν τέκνων ἀπαίτησιν καὶ τὸν υἱὸν

5 s. εἰς Δελφοὺς — πέπλον del. *Hr.* 9. ψωφίδα A
18. Euripides FTG. p. 380 20. κομισάντων P*C* 23. ἀπεμ-
πολυθῆναι R^a: ἀπεμπωληθῆναι A

κομίσασθαι. καὶ Ἀμφίλοχος κατὰ χρησμοὺς Ἀπόλλωνος Ἀμφιλοχικὸν Ἄργος ᾤκισεν.

---

96 *Ἐπανάγωμεν δὲ νῦν πάλιν ἐπὶ τὸν Πελασγόν, ὃν* 8
Ἀκουσίλαος μὲν Διὸς λέγει καὶ Νιόβης, καθάπερ ὑπ-
έθεμεν, Ἡσίοδος δὲ αὐτόχθονα. τούτου καὶ τῆς Ὠκεα-
νοῦ θυγατρὸς Μελιβοίας, ἢ καθάπερ ἄλλοι λέγουσι νύμ-
φης Κυλλήνης, παῖς Λυκάων ἐγένετο, ὃς βασιλεύων 2
Ἀρκάδων ἐκ πολλῶν γυναικῶν πεντήκοντα παῖδας ἐγέν-
νησε· Μελαινέα Θεσπρωτὸν Ἕλικα Νύκτιμον Πευκέτιον,
97 *Καύκωνα Μηκιστέα Ὁπλέα Μακαρέα Μάκεδνον, Ὅρον*
Πόλιχον Ἀκόντην Εὐαίμονα Ἀγκύορα, Ἀρχεβάτην Καρ-
τέρωνα Αἰγαίωνα Πάλλαντα Εὔμονα, Κάνηθον Πρόθοον 3
Λίνον Κορέθοντα Μαίναλον, Τηλεβόαν Φύσιον Φάσσον
Φθῖον Λύκιον, Ἁλίφηρον Γενέτορα Βουκολίωνα Σωκλέα
Φινέα, Εὐμήτην Ἁρπαλέα Πορθέα Πλάτωνα Αἵμονα, Κύ-
ναιθον Λέοντα Ἁρπάλυκον Ἡραιέα Τιτάναν, Μαντινέα
98 *Κλείτορα Στύμφαλον Ὀρχομενόν... οὗτοι πάντας ἀν-* 4
θρώπους ὑπερέβαλλον ὑπερηφανίᾳ καὶ ἀσεβείᾳ. Ζεὺς δὲ

1. *ἀνακομίσασθαι Hr.* 2. *ᾤκισεν* * scripsi (*ἔκτισεν* Tzetz. Lycophr. 980): *ᾤκησεν* A 3. *ἐπανάγων* A, corr. *Aeg.* 4. Acusil. frg. 12 *καθάπερ ὑπέθεμεν*] II 2 *ὑπεθέμεθα He.* 5. Hesiod. frg. 70 Rz. 7. *κυλήνης* A 9 ss. Lycaonis filiorum catalogus, partim descriptus a **Tzetz. Lycophr. 481**, longe differt a **Paus. VIII 3, 1 ss.** 9. *μάλλανον* R[a] *μαίλαννον B μαίλαννον C* (*μέληνος* vel *μαίναλθος* Tzetz. codd.): *Μελαινέα* * restitui ex Paus. VIII 3, 3 et 26, 8; *Μαίναλον Aeg.*, qui repetitur l. 13 *Ἑλίκαν* ex Steph. Byz. s. v. *Ἑλίκη He.* 10. *Μακιστέα He.* *Ὅρον*] *Οἰνωτρόν* (Paus.) *He.* 11 s. *Ἀγκύορα — Εὔμονα* om. R[bc] 11. *Ἀγκύορα*] *Ἀρκυωρόν Br.* 12. *πάλαντα* A *Εὔμονα* del. *Br.* 13. *Κορέθοντα*] *Ὀρεσθέα* (Paus.) *Hr.* *Μαίναλον* del. *Fab.* (conf. l. 9 adn.) 14. *φθίον* A *Λύκιον*] *Λύκος* Tzetz. 16. *ἡρρέα* A, ex Paus. corr. *Aeg.* *μαντίνουν* A, ex Paus. corr. *He.* 17. unum nomen deest 18. *ὑπερέβαλλον* E: *ὑπερέβαλον* A

αὐτῶν βουλόμενος τὴν ἀσέβειαν πειρᾶσαι εἰκασθεὶς ἀνδρὶ
5 *χερνήτῃ παραγίνεται. οἱ δὲ αὐτὸν ἐπὶ ξενίᾳ καλέσαν-*
τες, σφάξαντες ἕνα τῶν ἐπιχωρίων παῖδα, τοῖς ἱεροῖς
τὰ τούτου σπλάγχνα συναναμίξαντες παρέθεσαν, συμ-
βουλεύσαντος τοῦ πρεσβυτέρου ἀδελφοῦ Μαινάλου.
6 *Ζεὺς δὲ ⟨μυσαχθεὶς⟩ τὴν μὲν τράπεζαν ἀνέτρεψεν, ἔνθα* 99
νῦν Τραπεζοῦς καλεῖται ὁ τόπος, Λυκάονα δὲ καὶ τοὺς
τούτου παῖδας ἐκεραύνωσε, χωρὶς τοῦ νεωτάτου Νυκτί-
μου· φθάσασα γὰρ ἡ Γῆ καὶ τῆς δεξιᾶς τοῦ Διὸς ἐφα-
2 *ψαμένη τὴν ὀργὴν κατέπαυσε. Νυκτίμου δὲ τὴν βα-*
σιλείαν παραλαβόντος ὁ ἐπὶ Δευκαλίωνος κατακλυσμὸς
ἐγένετο. τοῦτον ἔνιοι διὰ τὴν τῶν Λυκάονος παίδων
δυσσέβειαν εἶπον γεγενῆσθαι.

2 *Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ* 100
θυγατέρα Καλλιστὼ γενέσθαι· Ἡσίοδος μὲν γὰρ αὐτὴν
μίαν εἶναι τῶν νυμφῶν λέγει, Ἄσιος δὲ Νυκτέως, Φε-
3 *ρεκύδης δὲ Κητέως. αὕτη σύνθηρος Ἀρτέμιδος οὖσα,*
τὴν αὐτὴν ἐκείνῃ στολὴν φοροῦσα, ὤμοσεν αὐτῇ μεῖ-
ναι παρθένος. Ζεὺς δὲ ἐρασθεὶς ἀκούσῃ συνευνάζεται,
εἰκασθείς, ὡς μὲν ἔνιοι λέγουσιν, Ἀρτέμιδι, ὡς δὲ ἔνιοι,
4 *Ἀπόλλωνι. βουλόμενος δὲ Ἥραν λαθεῖν εἰς ἄρκτον* 101
μετεμόρφωσεν αὐτήν. Ἥρα δὲ ἔπεισεν Ἄρτεμιν ὡς
ἄγριον θηρίον κατατοξεῦσαι. εἰσὶ δὲ οἱ λέγοντες ὡς

2. *παραγίνεται* A] *αὐτοῖς* add. Tzetz. *ξενίᾳ* A Tzetz.: *ξένια* *Hr.* 6. *μυσαχθεὶς* * ex Tzetz. recepit *Aeg.* (conf. [Eratosth.] Catast. 8, Hyg. fab. 176) *ἔνθεν* *Chr. G. Müllerus* 9. *φθάσασα* *E: *ἀνασχοῦσα* A *Γῆ*] *τὰς χεῖρας* ex Tzetz. add. edd., om. EA (conf. Epit. Vat. p. 105) 14. Eumel. frg. 14 K. *ἕτεροι*] *ἄλλοι* R[a], non O 15. Hesiod. frg. om. Rzachius; conf. *Robertum* in Eratosth. Catast. p. 238 et Prelleri myth. Gr. 1[4] p. 304 16. Asii frg. 9 K. Pherecyd. frg. 86 18. *ἐκείνῃ* E: *ἐκείνην* A *αὐτ˜* O R[a]: *αὐτοῦ* A, del. *He.* 19. *παρθένον* A, corr. *He.* 21. *λαθεῖν* E: *λαβεῖν* A

Ἄρτεμις αὐτὴν κατετόξευσεν, ὅτι τὴν παρθενίαν οὐκ
ἐφύλαξεν. ἀπολομένης δὲ Καλλιστοῦς Ζεὺς τὸ βρέφος 5
ἁρπάσας ἐν Ἀρκαδίᾳ δίδωσιν ἀνατρέφειν Μαίᾳ, προσ-
αγορεύσας Ἀρκάδα· τὴν δὲ Καλλιστὼ καταστερίσας
ἐκάλεσεν ἄρκτον.

102 Ἀρκάδος δὲ καὶ Λεανείρας τῆς Ἀμύκλου ἢ Μεγα- 9
νείρας τῆς Κρόκωνος, ὡς δὲ Εὔμηλος λέγει, νύμφης
Χρυσοπελείας, ἐγένοντο παῖδες Ἔλατος καὶ Ἀφείδας.
οὗτοι τὴν γῆν ἐμερίσαντο, τὸ δὲ πᾶν κράτος εἶχεν Ἔλα-
τος, ὃς ἐκ Λαοδίκης τῆς Κινύρου Στύμφαλον καὶ Περέα
τεκνοῖ, Ἀφείδας δὲ Ἀλεὸν καὶ Σθενέβοιαν, ἣν γαμεῖ
Προῖτος. Ἀλεοῦ δὲ καὶ Νεαίρας τῆς Περέως θυγάτηρ 2
103 μὲν Αὔγη, υἱοὶ δὲ Κηφεὺς καὶ Λυκοῦργος. Αὔγη μὲν
οὖν ὑφ' Ἡρακλέους φθαρεῖσα κατέκρυψε τὸ βρέφος ἐν
τῷ τεμένει τῆς Ἀθηνᾶς, ἧς εἶχε τὴν ἱερωσύνην. ἀκάρ- 3
που δὲ τῆς γῆς μενούσης, καὶ μηνυόντων τῶν χρησμῶν
εἶναί τι ἐν τῷ τεμένει τῆς Ἀθηνᾶς δυσσέβημα, φωρα-
θεῖσα ὑπὸ τοῦ πατρὸς παρεδόθη Ναυπλίῳ ἐπὶ θανάτῳ·
παρ' οὗ Τεύθρας ὁ Μυσῶν δυνάστης παραλαβὼν αὐτὴν
104 ἔγημε. τὸ δὲ βρέφος ἐκτεθὲν ἐν ὄρει Παρθενίῳ θηλὴν 4
ὑποσχούσης ἐλάφου Τήλεφος ἐκλήθη, καὶ τραφεὶς ὑπὸ
τῶν Κορύθου βουκόλων καὶ ζητήσας τοὺς γονέας ἧκεν
εἰς Δελφούς, καὶ μαθὼν παρὰ τοῦ θεοῦ, παραγενόμε-

1. *κατατοξεῦσαι* *B* V *παρθέναν* *B* *παρθένον* R[a]
6. *λεαινείρας* A *Μετανείρας* *C. Keilius* in Passovii lexico
7. *τῆς* *He.*: *τοῦ* A Eumel. frg. 15 K. 8. *Χρυσοπελείας* Tzetz. in Lycophr. 480 *He.*: *χρυσοπελίας* A *Ἔλατος* Tzetz. *Aeg.*: *ἔλαστος* A 10. *πειρέα* A, ex Paus. VIII 4, 6 corr. *Aeg.* 11. *ἄλεον* A, corr. *Hr.* (conf. I 112, II 146) 12. *ἀλέου* A *πειρέως* A 13. *Αὔγη* *Westermannus*: *αὔτη* A 17. *δυσέβημα* A 20. *ἔγημε* *Br.*: *ἔφθειρε* A 22. *Κορύθου* ex Diod. IV 33, 11 *Aeg. He.*: *κόρινθον* P *κόρινθος* A 23. *παραγενομένου* A, corr. *He.*

νος εἰς Μυσίαν θετὸς παῖς Τεύθραντος γίνεται· καὶ
τελευτῶντος αὐτοῦ διάδοχος τῆς δυναστείας γίνεται.
2 Λυκούργου δὲ καὶ Κλεοφύλης ἢ Εὐρυνόμης Ἀγκαῖος 105
καὶ Ἔποχος καὶ Ἀμφιδάμας καὶ Ἴασος. Ἀμφιδάμαντος
δὲ Μελανίων καὶ θυγάτηρ Ἀντιμάχη, ἣν Εὐρυσθεὺς
2 ἔγημεν. Ἰάσου δὲ καὶ Κλυμένης τῆς Μινύου Ἀταλάντη
ἐγένετο. ταύτης ὁ πατὴρ ἀρρένων παίδων ἐπιθυμῶν
ἐξέθηκεν αὐτήν, ἄρκτος δὲ φοιτῶσα πολλάκις θηλὴν
ἐδίδου, μέχρις οὗ εὑρόντες κυνηγοὶ παρ' ἑαυτοῖς ἀν-
3 έτρεφον. τελεία δὲ Ἀταλάντη γενομένη παρθένον ἑαυ- 106
τὴν ἐφύλαττε, καὶ θηρεύουσα ἐν ἐρημίᾳ καθωπλισμένη
διετέλει. βιάζεσθαι δὲ αὐτὴν ἐπιχειροῦντες Κένταυροι
Ῥοῖκός τε καὶ Ὑλαῖος κατατοξευθέντες ὑπ' αὐτῆς ἀπέθα-
4 νον. παρεγένετο δὲ μετὰ τῶν ἀριστέων καὶ ἐπὶ τὸν
Καλυδώνιον κάπρον, καὶ ἐν τῷ ἐπὶ Πελίᾳ τεθέντι
5 ἀγῶνι ἐπάλαισε Πηλεῖ καὶ ἐνίκησεν. ἀνευροῦσα δὲ ὕστε- 107
ρον τοὺς γονέας, ὡς ὁ πατὴρ γαμεῖν αὐτὴν ἔπειθεν ἀπ-
ιοῦσα εἰς σταδιαῖον τόπον καὶ πήξασα μέσον σκόλοπα
τρίπηχυν, ἐντεῦθεν τῶν μνηστευομένων τοὺς δρόμους
προϊεῖσα ἐτρόχαζε καθωπλισμένη· καὶ καταληφθέντι μὲν
αὐτοῦ θάνατος ὠφείλετο, μὴ καταληφθέντι δὲ γάμος.
6 ἤδη δὲ πολλῶν ἀπολομένων Μελανίων αὐτῆς ἐρασθεὶς 108

1. θεὸς P 1 s. καὶ — γίνεται om. *C* (in marg. add. V man. 2) 2. γίνεται, quod del. *Hr.*, retinui, puncto post antecedens γίνεται posito 3. Κλεοφύλης *A: Κλεοφίλης *Aeg.* 4. Ἴασος *He.*: ἰδαῖος A 6 μίνωος E 7. ταύτης EA: ταύτην *He.* deleto sequente αὐτήν 8. αὐτήν E: αὐτῆς A 9. κυνηγοὶ E: κυνηγὸν A 13. Ῥοῖκος] γρ. ῥοῖκος R[c]P in marg. man. 1: λύκος ER[a] *B* λυκοῦργος *C* (conf. Epit. Vat. p. 106) τε * add. ER[a]*B* ὑλλαῖος EA 14. τῶν *] ἄλλων add. edd., om. EA 15. τεθέντι E: τιθέντι A 17. γαμεῖσθαι *Hr.* 20. προϊοῦσα EA, corr. *He.* 21. αὐτῷ EA, corr. *Hr.* 22. ἀπολλυμένων EA, corr. *Br.* 22 ss. μειλανίων ER[a]

ἧκεν ἐπὶ τὸν δρόμον, χρύσεα μῆλα κομίζων παρ' Ἀφροδίτης, καὶ διωκόμενος ταῦτα ἔρριπτεν. ἡ δὲ ἀναιρουμένη τὰ ῥιπτόμενα τὸν δρόμον ἐνικήθη. ἔγημεν οὖν αὐτὴν Μελανίων. καί ποτε λέγεται θηρεύοντας αὐτοὺς εἰσελθεῖν εἰς τὸ τέμενος Διός, κἀκεῖ συνουσιάζον-
109 τας εἰς λέοντας ἀλλαγῆναι. Ἡσίοδος δὲ καί τινες ἕτεροι 7
τὴν Ἀταλάντην οὐκ Ἰάσου ἀλλὰ Σχοινέως εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελανίωνα ἀλλὰ Ἱππομένην. ἐγέννησε δὲ ἐκ Μελανίωνος Ἀταλάντη ἢ Ἄρεος Παρθενοπαῖον, ὃς ἐπὶ Θήβας ἐστρατεύσατο.

---

110 Ἄτλαντος δὲ καὶ τῆς Ὠκεανοῦ Πληιόνης ἐγένοντο 10
θυγατέρες ἑπτὰ ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας, αἱ Πληιάδες προσαγορευθεῖσαι, Ἀλκυόνη Μερόπη Κελαινὼ Ἠλέκτρα Στερόπη Ταϋγέτη Μαῖα. τούτων Στερόπην μὲν 2
111 Οἰνόμαος ἔγημε, Σίσυφος ⟨δὲ⟩ Μερόπην. δυσὶ δὲ ἐμίχθη Ποσειδῶν, πρώτῃ μὲν Κελαινοῖ, ἐξ ἧς Λύκος ἐγένετο, ὃν Ποσειδῶν ἐν μακάρων ᾤκισε νήσοις, δευτέρᾳ δὲ Ἀλκυόνῃ, ἣ θυγατέρα μὲν ἐτέκνωσεν Αἴθουσαν τὴν Ἀπόλλωνι Ἐλευθῆρα τεκοῦσαν, υἱοὺς δὲ Ὑριέα καὶ Ὑπερήνορα. Ὑριέως μὲν οὖν καὶ Κλονίης νύμφης 3
Νυκτεὺς καὶ Λύκος, Νυκτέως δὲ καὶ Πολυξοῦς Ἀν-

3. ῥιπτόμενα EL: ῥιπτούμενα A 4. θηρεύοντας E: μὴ θηρεύοντας $\mathrm{R^{a}}$ *C* μὴ θηρεύοι τὰς *B* 6. λέοντας E: πλέοντας A Hesiod. frg. 41 Rz. 7. Euripid. Phoen. 1162 (et schol. v. 150) 8. μειλίωνα $\mathrm{R^{ac}}$P 9. μειλίωνος $\mathrm{R^{a}}$ *B* 10. ἢ *Aeg.*: καὶ A 14. προσαγορευόμεναι $\mathrm{R^{a}}$, non O 16. Σίσυφος] δὲ add. *Br.* 18. ᾤκησε A, corr. *Fab.* 19. ἣ . . . ἐτέκνωσεν] ἐξ ἧς . . . ἐτέκνωσεν *A. Ludwich* Mus. Rhen. XXXVI p. 464 s. (conf. I 1 et III 15) 20. τεκοῦσαν] καλλίστην add. A, del. *Fab.* 20 s. ὑβρέα . . . ὑβρέως A, corr. *Aeg. He.* 21. ὑπερηνορέα A Ὑριέως] Nycteus Chthonii filius est III 40 22. Ἀντιόπη om. *B*

τιόπη, Ἀντιόπης δὲ καὶ Διὸς Ζῆθος καὶ Ἀμφίων. ταῖς
δὲ λοιπαῖς Ἀτλαντίσι Ζεὺς συνουσιάζει.
2 Μαῖα μὲν οὖν ἡ πρεσβυτάτη Διὶ συνελθοῦσα ἐν 112
ἄντρῳ τῆς Κυλλήνης Ἑρμῆν τίκτει. οὗτος ἐν πρώτοις
⟨σπαργάνοις⟩ ἐπὶ τοῦ λίκνου κείμενος, ἐκδὺς εἰς Πιε-
ρίαν παραγίνεται, καὶ κλέπτει βόας ἃς ἔνεμεν Ἀπόλλων.
2 ἵνα δὲ μὴ φωραθείη ὑπὸ τῶν ἰχνῶν, ὑποδήματα τοῖς
ποσὶ περιέθηκε, καὶ κομίσας εἰς Πύλον τὰς μὲν λοιπὰς
εἰς σπήλαιον ἀπέκρυψε, δύο δὲ καταθύσας τὰς μὲν βύρ-
σας πέτραις καθήλωσε, τῶν δὲ κρεῶν τὰ μὲν κατην-
3 άλωσεν ἑψήσας τὰ δὲ κατέκαυσε. καὶ ταχέως εἰς Κυλ- 113
λήνην ᾤχετο. καὶ εὑρίσκει πρὸ τοῦ ἄντρου νεμομένην
χελώνην. ταύτην ἐκκαθάρας, εἰς τὸ κύτος χορδὰς ἐν-
τείνας ἐξ ὧν ἔθυσε βοῶν καὶ ἐργασάμενος λύραν εὗρε
4 καὶ πλῆκτρον. Ἀπόλλων δὲ τὰς βόας ζητῶν εἰς Πύλον
ἀφικνεῖται, καὶ τοὺς κατοικοῦντας ἀνέκρινεν. οἱ δὲ
ἰδεῖν μὲν παῖδα ἐλαύνοντα ἔφασκον, οὐκ ἔχειν δὲ εἰπεῖν
ποῖ ποτε ἠλάθησαν διὰ τὸ μὴ εὑρεῖν ἴχνος δύνασθαι.
5 μαθὼν δὲ ἐκ τῆς μαντικῆς τὸν κεκλοφότα πρὸς Μαῖαν 114
εἰς Κυλλήνην παραγίνεται, καὶ τὸν Ἑρμῆν ᾐτιᾶτο. ἡ
δὲ ἐπέδειξεν αὐτὸν ἐν τοῖς σπαργάνοις. Ἀπόλλων δὲ
6 αὐτὸν πρὸς Δία κομίσας τὰς βόας ἀπῄτει. Διὸς δὲ
κελεύοντος ἀποδοῦναι ἠρνεῖτο. μὴ πείθων δὲ ἄγει τὸν
Ἀπόλλωνα εἰς Πύλον καὶ τὰς βόας ἀποδίδωσιν. ἀκούσας
δὲ τῆς λύρας ὁ Ἀπόλλων ἀντιδίδωσι τὰς βόας. Ἑρμῆς 115

4 s. πρώτοις σπαργάνοις * reposui: πρώτοις A, στρωτοῖς *Valckenarius*, σπαργάνοις *He*. 7. ὑπὸ A: ἐκ *Hr*. 8. εἰς] **incip. R fol. 32^{r}** 10. πέτρας καθήλωσε *Schaeferus* Melet. p. 88 (conf. hymn. Hom. in Merc. 124: ἐξετάνυσσε . . . ἐπὶ πέτρῃ) 12. πρὸς RR^{ab} 14. λύραν] ἐποίησε, καὶ πρῶτος κρέα ὤπτησε, καὶ λύραν add. RA, om. P

δὲ ταυτας νέμων σύριγγα πάλιν πηξάμενος ἐσύριζεν.
Ἀπόλλων δὲ καὶ ταύτην βουλόμενος λαβεῖν, τὴν χρυσῆν 7
ῥάβδον ἐδίδου ἣν ἐκέκτητο βουκολῶν. ὁ δὲ καὶ ταύτην
λαβεῖν ἀντὶ τῆς σύριγγος ἤθελε καὶ τὴν μαντικὴν ἐπελ-
θεῖν· καὶ δοὺς διδάσκεται τὴν διὰ τῶν ψήφων μαντι-
κήν. Ζεὺς δὲ αὐτὸν κήρυκα ἑαυτοῦ καὶ θεῶν ὑπο-
χθονίων τίθησι.
116 Ταϋγέτη δὲ ἐκ Διὸς ⟨ἐγέννησε⟩ Λακεδαίμονα, ἀφ' 3
οὗ καὶ Λακεδαίμων ἡ χώρα καλεῖται. Λακεδαίμονος
δὲ καὶ Σπάρτης τῆς Εὐρώτα, ὃς ἦν ἀπὸ Λέλεγος αὐτό-
χθονος καὶ νύμφης νηίδος Κλεοχαρείας, Ἀμύκλας καὶ
Εὐρυδίκη, ἣν ἔγημεν Ἀκρίσιος. Ἀμύκλα δὲ καὶ Διο- 2
μήδης τῆς Λαπίθου Κυνόρτης καὶ Ὑάκινθος. τοῦτον
εἶναι τοῦ Ἀπόλλωνος ἐρώμενον λέγουσιν, ὃν δίσκῳ
117 βαλὼν ἄκων ἀπέκτεινε. Κυνόρτου δὲ Περιήρης, ὃς 3
γαμεῖ Γοργοφόνην τὴν Περσέως, καθάπερ Στησίχορός
φησι, καὶ τίκτει Τυνδάρεων Ἰκάριον Ἀφαρέα Λεύκιπ-
πον. Ἀφαρέως μὲν οὖν καὶ Ἀρήνης τῆς Οἰβάλου Λυγ- 4
κεύς τε καὶ Ἴδας καὶ Πεῖσος· κατὰ πολλοὺς δὲ Ἴδας
ἐκ Ποσειδῶνος λέγεται. Λυγκεὺς δὲ ὀξυδερκίᾳ διήνεγ-
κεν, ὡς καὶ τὰ ὑπὸ γῆν θεωρεῖν. Λευκίππου δὲ θυ- 5
γατέρες ἐγένοντο Ἱλάειρα καὶ Φοίβη· ταύτας ἁρπάσαν-
118 τες ἔγημαν Διόσκουροι. πρὸς δὲ ταύταις Ἀρσινόην
ἐγέννησε· ταύτῃ μίγνυται Ἀπόλλων, ἡ δὲ Ἀσκληπιὸν

1. σύριγγα L man. 2 in marg. σύριγκα LV: σύριγμα RA
5. τῶν R: τὴν A ψῆφον *C* 8. ἐγέννησε add. *Hr.*
10. καὶ εὐρώτας τῆς σπάρτης A, corr. *Aeg.* λέλεγος R: λέλενος A αὐτόφθονος RR[a] 12. εὐρυδίκης A, corr. *Aeg.* 14. τοῦ ἀπόλλωνος *BC*: τὸν ἀπόλλωνος RR[a] 16. Stesichor. frg. 61
17. τυνδάρεω RR[a] 18. *Οἰβάλου* Tzetz. ad Lycophr. 511 *Aeg.*: οἰβάδου A 19. *Πῖσος Hr.* 20. ὀξυδερκίᾳ E*BC*: ὀξυδερκίαν RR[a], ὀξυδερκείᾳ *Hr.* 23. ἔγημαν R S p. 189, 3: ἔγημε A διόσκουροι SRR[a]: διόσκουρος A 24. Ἀπόλλων] ὁ θεὸς add. S

6 γεννᾷ. τινὲς δὲ Ἀσκληπιὸν οὐκ ἐξ Ἀρσινόης τῆς Λευ-
κίππου λέγουσιν, ἀλλ' ἐκ Κορωνίδος τῆς Φλεγύου ἐν
Θεσσαλίᾳ. καί φασιν ἐρασθῆναι ταύτης Ἀπόλλωνα καὶ
εὐθέως συνελθεῖν· τὴν δὲ παρὰ τὴν τοῦ πατρὸς γνώ-
μην ἑλομένην Ἴσχυϊ τῷ Καινέως ἀδελφῷ συνοικεῖν.
7 Ἀπόλλων δὲ τὸν μὲν ἀπαγγείλαντα κόρακα καταρᾶται, 119
ὃν τέως λευκὸν ὄντα ἐποίησε μέλανα, αὐτὴν δὲ ἀπ-
έκτεινε. καιομένης δὲ ταύτης ἁρπάσας τὸ βρέφος ἐκ τῆς
8 πυρᾶς πρὸς Χείρωνα τὸν Κένταυρον ἤνεγκε, παρ' οὗ
καὶ τὴν ἰατρικὴν καὶ τὴν κυνηγετικὴν τρεφόμενος ἐδι-
δάχθη. καὶ γενόμενος χειρουργικὸς καὶ τὴν τέχνην 120
ἀσκήσας ἐπὶ πολὺ οὐ μόνον ἐκώλυέ τινας ἀποθνήσκειν,
9 ἀλλ' ἀνήγειρε καὶ τοὺς ἀποθανόντας· παρὰ γὰρ Ἀθη-
νᾶς λαβὼν τὸ ἐκ τῶν φλεβῶν τῆς Γοργόνος ῥυὲν αἷμα,
τῷ μὲν ἐκ τῶν ἀριστερῶν ῥυέντι πρὸς φθορὰν ἀνθρώ-
πων ἐχρῆτο, τῷ δὲ ἐκ τῶν δεξιῶν πρὸς σωτηρίαν, καὶ
διὰ τοῦτο τοὺς τεθνηκότας ἀνήγειρεν.
10 [εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ, 121

2. *φλεγύου* (quod facile *φλένου* legi potest) R: *φλένου* R[a] *B* *φολέου* *C* *φλεγοῦ* S 2 s. *ἐν Θεσσαλίᾳ* del. *Hr.* 3. *ταύτης* S: *ταύτας* RR[a] *C* *ταύτῃ* *B* *ἀπόλλωνα* S: *ἀπόλλω* R *ἀπόλλων* A 4. *εὐθέως* del. *Hr.* *τῆς δὲ* (R?) *τοῦ δὲ* A, corr. *Aeg.* 5. *ἑλω* (*μεν* superscr.) R *ἑλωμένου* R[a] *ἑλομένου* A, corr. *Aeg.* *ἰσχύει* A *κλεινέως* A, corr. *Sevinus*; *τῷ Καινέως ἀδελφῷ* del. *Gal.* 7. *ὃν* *Fab.*: *ὡς* A *ὃς* PV, R[c]LT in marg. *ὃν — μέλανα* del. *He.* 8. *ταύτης* *RR[a]: *αὐτῆς* A 9. *παρ' ᾧ* A, corr. *Hr.* (*παρὰ Χείρωνος* E) 13. *καὶ τοὺς* ESA: *καί τινας* *Hr.* 14. *γοργόνος* ES: *γοργόνης* A **Zenob. I 18** 15 s. *τῷ . . . ῥυέντι . . . τῷ* EZenob.: *τὸ . . . ῥυὲν . . . τὸ* SA *ῥυέντι* del. *Br.* 17. *τοῦτο* *ES: *τούτου* A 18 ss. catalogum, quem bibliothecae recte abiudicavit *He.*, accurate tractavit *R. Münzel* Quaest. mythogr. (Berol. 1883) p. 3 ss. accitis reliquis testimoniis: **schol. Eurip. Alc. 1, schol. Pind. Pyth. 3, 96, Philodem. π. εὐσεβ. 52 Gomp., Sext. Emp. adv. math. I 260** 18. *τινας*] *πολλοὺς* add. schol. Eurip.

Καπανέα καὶ Λυκοῦργον, ὡς Στησίχορός φησιν ⟨*ἐν*⟩ *Ἐριφύλῃ, Ἱππόλυτον, ὡς ὁ τὰ Ναυπακτικὰ συγγράψας λέγει, Τυνδάρεων, ὥς φησι Πανύασσις, Ὑμέναιον, ὡς οἱ Ὀρφικοὶ λέγουσι, Γλαῦκον τὸν Μίνωος, ὡς Μελησαγόρας λέγει.*]

122 *Ζεὺς δὲ φοβηθεὶς μὴ λαβόντες ἄνθρωποι θεραπείαν παρ' αὐτοῦ βοηθῶσιν ἀλλήλοις, ἐκεραύνωσεν αὐτόν. καὶ διὰ τοῦτο ὀργισθεὶς Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν κεραυνὸν Διὶ κατασκευάσαντας. Ζεὺς* 4 *δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον, δεηθείσης δὲ Λητοῦς ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. ὁ* 2 *δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον τὸν Φέρητος τούτῳ λατρεύων ἐποίμαινε, καὶ τὰς θηλείας βόας πάσας διδυμοτόκους ἐποίησεν.*

123 *εἰσὶ δὲ οἱ λέγοντες Ἀφαρέα μὲν καὶ Λεύκιππον* 3 *ἐκ Περιήρους γενέσθαι τοῦ Αἰόλου, Κυνόρτου δὲ Περιήρην, τοῦ δὲ Οἴβαλον, Οἰβάλου δὲ καὶ νηΐδος νύμφης Βατείας Τυνδάρεων Ἱπποκόωντα Ἰκάριον.*

124 *Ἱπποκόωντος μὲν οὖν ἐγένοντο παῖδες Δορυκλεὺς* 5 *Σκαῖος Ἐναροφόρος Εὐτείχης Βουκόλος Λύκαιθος Τέ-*

1. *ὡς* *He.*: *ὡς δὲ* A Stesich. frg. 16 *ἐν* add. Sext. Emp. Philod. 2. *ἐριφύλῃ* S: *ἐριφύλην* A *ὡς* *Com.*: *ὡς δὲ* SA Naupact. frg. 11 K. 3. *πανύασσις* RR^a*C* *πανυάσσης* *B*: *πανύασις* S Panyass. frg. 19 K. 4. Orphica frg. 256 Abel. *μνησαγόρας* A, corr. *Meursius* (conf. FHG. II p. 21), *Ἀμελησαγόρας* schol. Eurip. Ameles. frg. 2 (FHG. II p. 22) 6 s. *φοβηθεὶς μὴ . . .*] *διὰ γοῦν τὸ μὴ δόξαι τοῦτον παρ' ἀνθρώποις εἶναι θεόν* Zenob. 7. *αὐτοῦ* *ES: *αὐτῶν* A 12. *παραγενάμενος* R 14. *διδυμοτόκους* ESZenob.: *διδυματόκους* A 16. *περιήρης* A, corr. *Aeg.* 16 s. *Περιήρην τοῦ δὲ* del. *Hemsterhusius*, sed conf. schol. Eurip. Or. 457, schol. min. Hom. *B* 581 17. *Οἰβάλου*] **R fol. 32^v** 18. *τυνδάρε*^{ω} R: *τυνδάρεω* A *ἰκαρί*^{χ} *R(R^a) conf. I 87: *ἰκαρίωνα* A 19. *Δορυκλεὺς*] *Δορκεὺς* **Paus. III 15, 1 s.** *He.* 20. *ἐμαρσφόρος* A, corr. *Fab.*, *Ἐναραιφόρος* Paus. *λύκαιθος** R (R^a): *λύκα*^{ο}*ν* PR^{c}T *λύκον* R^{b}VL *Τέβρος*] *Σεβρός* Paus. *Fab.*

βρος Ἱππόθοος Εὔρυτος Ἱπποκορυστὴς Ἀλκίνους Ἄλκων.
τούτους Ἱπποκόων ἔχων παῖδας Ἰκάριον καὶ Τυνδά-
2 *ρεων ἐξέβαλε Λακεδαίμονος. οἱ δὲ φεύγουσι πρὸς Θέ-* 125
στιον, καὶ συμμαχοῦσιν αὐτῷ πρὸς τοὺς ὁμόρους πόλε-
μον ἔχοντι· καὶ γαμεῖ Τυνδάρεως Θεστίου θυγατέρα
Λήδαν. αὖθις δέ, ὅτε Ἡρακλῆς Ἱπποκόωντα καὶ τοὺς
τούτου παῖδας ἀπέκτεινε, κατέρχονται, καὶ παραλαμ-
βάνει Τυνδάρεως τὴν βασιλείαν.

6 *Ἰκαρίου μὲν οὖν καὶ Περιβοίας νύμφης νηίδος Θόας* 126
Δαμάσιππος Ἰμεύσιμος Ἀλήτης Περίλεως, καὶ θυγάτηρ
Πηνελόπη, ἣν ἔγημεν Ὀδυσσεύς· Τυνδάρεω δὲ καὶ
Λήδας Τιμάνδρα, ἣν Ἔχεμος ἔγημε, καὶ Κλυταιμνήστρα,
ἣν ἔγημεν Ἀγαμέμνων, ἔτι τε Φυλονόη, ἣν Ἄρτεμις
7 *ἀθάνατον ἐποίησε. Διὸς δὲ Λήδᾳ συνελθόντος ὁμοιω-*
θέντος κύκνῳ, καὶ κατὰ τὴν αὐτὴν νύκτα Τυνδάρεω,
Διὸς μὲν ἐγεννήθη Πολυδεύκης καὶ Ἑλένη, Τυνδάρεω
2 *δὲ Κάστωρ ⟨καὶ Κλυταιμνήστρα⟩. λέγουσι δὲ ἔνιοι Νε-* 127
μέσεως Ἑλένην εἶναι καὶ Διός. ταύτην γὰρ τὴν Διὸς
φεύγουσαν συνουσίαν εἰς χῆνα τὴν μορφὴν μεταβαλεῖν,
3 *ὁμοιωθέντα δὲ καὶ Δία κύκνῳ συνελθεῖν· τὴν δὲ ᾠὸν*
ἐκ τῆς συνουσίας ἀποτεκεῖν, τοῦτο δὲ ἐν τοῖς ἄλσεσιν
εὑρόντα τινὰ ποιμένα Λήδᾳ κομίσαντα δοῦναι, τὴν
δὲ καταθεμένην εἰς λάρνακα φυλάσσειν, καὶ χρόνῳ
καθήκοντι γεννηθεῖσαν Ἑλένην ὡς ἐξ αὐτῆς θυγατέρα

2. *ἰκαρί*ˣ R: *ἰκαρίωνος* R^a *ἰκαρίωνα* A *τυνδάρεω* RR^a 3. *ἐξέβαλε* (compend.) R: *ἐξέβαλον* A 4. *αὐτ῀* RR^a: *αὐτοῦ* A 7. *κατέρχεται* *He.* 11. *δὲ* add. (R?) *He.* 13. *φυλονόη* A: non scribendum esse *Φιλονόη* apparet ex Xenotimi vase, de quo conf. *Robertum* Jahrb. d. Arch. Inst. IV Anz. p. 143 15. *τυνδάρεω* RR^a: *τυνδάρεως* A 16. *ἐγεννήθησαν* *Com.*, *ἐγένετο* *Hr.* 17. *καὶ Κλυταιμνήστρα* add. *Gal.* *ἔνιοι δὲ λέγουσι* S 20. *Δία*] *τῷ* add. SA, del. *He.* 21. *ἄλσεσιν* A *ἄλσεσιν* S: *ἕλεσιν* *Prellerus*, *δάσεσιν* *Br.*

128 τρέφειν. γενομένην δὲ αὐτὴν κάλλει διαπρεπῆ Θησεὺς 4
ἁρπάσας εἰς Ἀφίδνας ἐκόμισε. Πολυδεύκης δὲ καὶ Κά-
στωρ ἐπιστρατεύσαντες, ἐν Ἅιδου Θησέως ὄντος, αἱροῦσι
τὴν πόλιν καὶ τὴν Ἑλένην λαμβάνουσι, καὶ τὴν Θησέως
129 μητέρα Αἴθραν ἄγουσιν αἰχμάλωτον. παραγένοντο δὲ εἰς 8
Σπάρτην ἐπὶ τὸν Ἑλένης γάμον οἱ βασιλεύοντες Ἑλλά-
δος. ἦσαν δὲ οἱ μνηστευόμενοι οἵδε· Ὀδυσσεὺς Λαέρ-
του, Διομήδης Τυδέως, Ἀντίλοχος Νέστορος, Ἀγαπή-
νωρ Ἀγκαίου, Σθένελος Καπανέως, Ἀμφίμαχος Κτεά-
του, Θάλπιος Εὐρύτου, Μέγης Φυλέως, Ἀμφίλοχος 2
130 Ἀμφιαράου, Μενεσθεὺς Πετεώ, Σχεδίος ⟨καὶ⟩ Ἐπίστρο-
φος ⟨Ἰφίτου⟩, Πολύξενος Ἀγασθένους, Πηνέλεως ⟨Ἱππ-
αλκίμου⟩, Λήιτος ⟨Ἀλέκτορος⟩, Αἴας Ὀιλέως, Ἀσκά-
λαφος καὶ Ἰάλμενος Ἄρεος, Ἐλεφήνωρ Χαλκώδοντος,
Εὔμηλος Ἀδμήτου, Πολυποίτης Πειρίθου, Λεοντεὺς 3
131 Κορώνου, Ποδαλείριος καὶ Μαχάων Ἀσκληπιοῦ, Φιλο-
κτήτης Ποίαντος, Εὐρύπυλος Εὐαίμονος, Πρωτεσίλαος
Ἰφίκλου, Μενέλαος Ἀτρέως, Αἴας καὶ Τεῦκρος Τελα-
μῶνος, Πάτροκλος Μενοιτίου. τούτων ὁρῶν τὸ πλῆθος 9
Τυνδάρεως ἐδεδοίκει μὴ κριθέντος ἑνὸς στασιάσωσιν
132 οἱ λοιποί. ὑποσχομένου δὲ Ὀδυσσέως, ἐὰν συλλάβη-
ται πρὸς τὸν Πηνελόπης αὐτῷ γάμον, ὑποθήσεσθαι τρό-
πον τινὰ δι' οὗ μηδεμία γενήσεται στάσις, ὡς ὑπέσχετο
αὐτῷ συλλήψεσθαι ὁ Τυνδάρεως, πάντας εἶπεν ἐξορκί- 2
σαι τοὺς μνηστῆρας βοηθήσειν, ἐὰν ὁ προκριθεὶς νυμ-

2. ἀφίδνας S, R man. 1: ἀθήνας R man. 2, A (conf. ep. 1, 23 Epit. Vat. p. 152 ss.) Κάστωρ] εἰς Ἀφίδνας vel εἰς Ἀθήνας (ut supra) add. SA, del. *He.* 9. Ἀμφίμαχος *He.*: ἀμφίλοχος SA 11. σχέδιος ἐπιστρόφου A, suppl. *Palmerius* 12. πηνέλεως ληίτου (ληιτοῦ RR^cP) A: Πηνέλεως Ἱππαλκίμου, Λήιτος Ἀλεκτρυόνος *He.*, Ἀλέκτορος repos. *Br.* (conf. I 113) 16. κορωνοῦ A 20. κριθέντος SA: προκριθέντος *Fab.* 21. Ὀδυσσέως *SA: τοῦ Ὀδυσσέως edd. recc. 23. μὴ δὲ μία R*B*L

φίος ὑπὸ ἄλλου τινὸς ἀδικῆται περὶ τὸν γάμον. ἀκού-
σας δὲ τοῦτο Τυνδάρεως τοὺς μνηστῆρας ἐξορκίζει, καὶ
Μενέλαον μὲν αὐτὸς αἱρεῖται νυμφίον, Ὀδυσσεῖ δὲ παρὰ
Ἰκαρίου μνηστεύεται Πηνελόπην.

11 Μενέλαος μὲν οὖν ἐξ Ἑλένης Ἑρμιόνην ἐγέννησε 133
καὶ κατά τινας Νικόστρατον, ἐκ δούλης ⟨δὲ⟩ Πιερίδος,
γένος Αἰτωλίδος, ἢ καθάπερ Ἀκουσίλαός φησι Τηρηί-
δος, Μεγαπένθη, ἐκ Κνωσσίας δὲ νύμφης κατὰ Εὔμη-
λον Ξενόδαμον.

2 τῶν δὲ ἐκ Λήδας γενομένων παίδων Κάστωρ μὲν 134
ἤσκει τὰ κατὰ πόλεμον, Πολυδεύκης δὲ πυγμήν, καὶ διὰ
τὴν ἀνδρείαν ἐκλήθησαν ἀμφότεροι Διόσκουροι. βου-
λόμενοι δὲ γῆμαι τὰς Λευκίππου θυγατέρας ἐκ Μεσσή-
2 νης ἁρπάσαντες ἔγημαν· καὶ γίνεται μὲν Πολυδεύκους
καὶ Φοίβης Μνησίλεως, Κάστορος δὲ καὶ Ἰλαείρας Ἀνώ-
3 γων. ἐλάσαντες δὲ ἐκ τῆς Ἀρκαδίας βοῶν λείαν μετὰ 135
τῶν Ἀφαρέως παίδων Ἴδα καὶ Λυγκέως, ἐπιτρέπουσιν
Ἴδᾳ διελεῖν· ὁ δὲ τεμὼν βοῦν εἰς μέρη τέσσαρα, τοῦ
πρώτου καταφαγόντος εἶπε τῆς λείας τὸ ἥμισυ ἔσεσθαι,
καὶ τοῦ δευτέρου τὸ λοιπόν. καὶ φθάσας κατηνάλωσε
τὸ μέρος τὸ ἴδιον πρῶτος Ἴδας, καὶ τὸ τοῦ ἀδελφοῦ,
4 καὶ μετ' ἐκείνου τὴν λείαν εἰς Μεσσήνην ἤλασε. στρα- 136
τεύσαντες δὲ ἐπὶ Μεσσήνην οἱ Διόσκουροι τήν τε
λείαν ἐκείνην καὶ πολλὴν ἄλλην συνελαύνουσι. καὶ

6. δὲ add. *Westermannus* 7. Acusil. frg. 28 *Τηρηίδος*] *Τηριδάη* et *Τηρίς* est schol. Hom. δ 11 s. (conf. Dindorfii adnot.), *Σπειριτίδος* propos. *Hr.* 8. *μεγαπένθης* A 9. *ξενοδάμων* A *ξενοδάμον* R[b], corr. *Aeg.* 13 ss. *μεσήνης* A 15. *μνησίλεως* R: *μησίλλεως* A *ἰλαείρας* R: *ἰλαίρας* R[a] *B* V *ἰλείρας* LT 16. *βοῶν λείαν* R (difficile lectu), PR[c] *C* in marg.: *βουλείαν* A 17 ss. *λυγγεύς* E 18. *διελθεῖν* A, corr. *Com.* (*μερίζειν* Tzetz. Lycophr. 511) 20. *καὶ*] **R fol. 30[r]** 21. *πρῶτος* * RR[a] *B* V: *πρῶτον* LT, del. *Hr.*

τὸν Ἴδαν ἐλόχων καὶ τὸν Λυγκέα. Λυγκεὺς δὲ ἰδὼν
Κάστορα ἐμήνυσεν Ἴδᾳ, κἀκεῖνος αὐτὸν κτείνει. Πολυ- 5
δεύκης δὲ ἐδίωξεν αὐτούς, καὶ τὸν μὲν Λυγκέα κτείνει
τὸ δόρυ προέμενος, τὸν δὲ Ἴδαν διώκων, βληθεὶς ὑπ'
137 ἐκείνου πέτρᾳ κατὰ τῆς κεφαλῆς, πίπτει σκοτωθείς. καὶ
Ζεὺς Ἴδαν κεραυνοῖ, Πολυδεύκην δὲ εἰς οὐρανὸν ἀν-
άγει. μὴ δεχομένου δὲ Πολυδεύκους τὴν ἀθανασίαν ὄν- 6
τος νεκροῦ Κάστορος, Ζεὺς ἀμφοτέροις παρ' ἡμέραν καὶ
ἐν θεοῖς εἶναι καὶ ἐν θνητοῖς ἔδωκε. μεταστάντων δὲ
εἰς θεοὺς τῶν Διοσκούρων, Τυνδάρεως μεταπεμψάμε-
νος Μενέλαον εἰς Σπάρτην τούτῳ τὴν βασιλείαν παρ-
έδωκεν.

---

138 Ἠλέκτρας δὲ τῆς Ἄτλαντος καὶ Διὸς Ἰασίων καὶ 12
Δάρδανος ἐγένοντο. Ἰασίων μὲν οὖν ἐρασθεὶς Δήμη-
τρος καὶ θέλων καταισχῦναι τὴν θεὸν κεραυνοῦται,
Δάρδανος δὲ ἐπὶ τῷ θανάτῳ τοῦ ἀδελφοῦ λυπούμενος,
Σαμοθρᾴκην ἀπολιπὼν εἰς τὴν ἀντίπερα ἤπειρον ἦλθε.
139 ταύτης δὲ ἐβασίλευε Τεῦκρος ποταμοῦ Σκαμάνδρου καὶ 2
νύμφης Ἰδαίας· ἀφ' οὗ καὶ οἱ τὴν χώραν νεμόμενοι
Τεῦκροι προσηγορεύοντο. ὑποδεχθεὶς δὲ ὑπὸ τοῦ βα- 3
σιλέως, καὶ λαβὼν μέρος τῆς γῆς καὶ τὴν ἐκείνου θυ-
γατέρα Βάτειαν, Δάρδανον ἔκτισε πόλιν· τελευτήσαντος
δὲ Τεύκρου τὴν χώραν ἅπασαν Δαρδανίαν ἐκάλεσε.
140 γενομένων δὲ αὐτῷ παίδων Ἴλου καὶ Ἐριχθονίου, Ἶλος 2
μὲν ἄπαις ἀπέθανεν, Ἐριχθόνιος δὲ διαδεξάμενος τὴν
βασιλείαν, γήμας Ἀστυόχην τὴν Σιμόεντος, τεκνοῖ

2 s. *Πολυδεύκης — κτείνει* om. *C*R[b] 9. *θνητοῖς*], 'fortasse *νεκροῖς*' *Hr.* 13. *λέκτρας* S p. 186, 15 14. *ἰασίων* R: *ἰασίμων* A 15. *καταισχύναι* A 19. *ἰδρυίας* S 23. *τεύκρου* S: *τεῦκρος* A 24. *αὐτῶν* R*B* 24 ss. *ἴλος* ES: *ἴλλος* A 25. *μὲν* S: *μὲν οὖν* A 26. *ἀστυόχην* SR[a]: *ἀστρόχην* A

2 *Τρῶα. οὗτος παραλαβὼν τὴν βασιλείαν τὴν μὲν χώραν*
ἀφ' ἑαυτοῦ Τροίαν ἐκάλεσε, καὶ γήμας Καλλιρρόην τὴν
Σκαμάνδρου γεννᾷ θυγατέρα μὲν Κλεοπάτραν, παῖδας
3 *δὲ Ἶλον καὶ Ἀσσάρακον καὶ Γανυμήδην. τοῦτον μὲν* 141
οὖν διὰ κάλλος ἀναρπάσας Ζεὺς δι' ἀετοῦ θεῶν οἰνο-
χόον ἐν οὐρανῷ κατέστησεν· Ἀσσαράκου δὲ καὶ Ἱερο-
μνήμης τῆς Σιμόεντος Κάπυς, τοῦ δὲ καὶ Θεμίστης τῆς
Ἴλου Ἀγχίσης, ᾧ δι' ἐρωτικὴν ἐπιθυμίαν Ἀφροδίτη
συνελθοῦσα Αἰνείαν ἐγέννησε καὶ Λύρον, ὃς ἄπαις ἀπ-
3 *έθανεν. Ἶλος δὲ εἰς Φρυγίαν ἀφικόμενος καὶ καταλαβὼν* 142
ὑπὸ τοῦ βασιλέως αὐτόθι τεθειμένον ἀγῶνα νικᾷ πά-
λην· καὶ λαβὼν ἆθλον πεντήκοντα κόρους καὶ κόρας
τὰς ἴσας, δόντος αὐτῷ τοῦ βασιλέως κατὰ χρησμὸν καὶ
βοῦν ποικίλην, καὶ φράσαντος ἐν ᾧπερ ἂν αὐτὴ κλιθῇ
2 *τόπῳ πόλιν κτίζειν, εἵπετο τῇ βοΐ. ἡ δὲ ἀφικομένη ἐπὶ* 143
τὸν λεγόμενον τῆς Φρυγίας Ἄτης λόφον κλίνεται· ἔνθα
πόλιν κτίσας Ἶλος ταύτην μὲν Ἴλιον ἐκάλεσε, τῷ δὲ Διὶ
σημεῖον εὐξάμενος αὐτῷ τι φανῆναι, μεθ' ἡμέραν τὸ
διιπετὲς παλλάδιον πρὸ τῆς σκηνῆς κείμενον ἐθεάσατο.
3 *ἦν δὲ τῷ μεγέθει τρίπηχυ, τοῖς δὲ ποσὶ συμβεβηκός,*
καὶ τῇ μὲν δεξιᾷ δόρυ διηρμένον ἔχον τῇ δὲ ἑτέρᾳ ἠλα-
κάτην καὶ ἄτρακτον.

1. *τρῶας* R *μὲν* SA, del. *Hr.* 2. *ἐκάλεσε*] *εἰς ὄνομα αὐτοῦ* add. S *καλλιρρόην* R[a]: *καλλιρόην* SA 4. *γανυμήδην* S*BC*: *γαννυμήδην* ERR[a] 5. *δι'* ESA: *διὰ* RR[a] 6. *ἐν οὐρανῷ* ESA, del. *Hr.* 7. *θεμίς* i. q. *Θεμίστης* *R: *θεμι*ς' A, *Θέμιδος* edd. *τῆς* R: *τοῦ* A 8. *ἐρετωτικὴν* (compend.) R 9. *Λύρνον He.*, *Λύρκον* propos. *Hr.* 12. *κόρους* *S: *κούρους* A (conf. III 213) 14. *αὐτὴ* SA: *αὕτη Hr.* (conf. III 21) 17. *ἴλιον* ES: *ἴλλιον* A 18. *τι* ESA, om. **Tzetz. Lycophr. 355** *Hr.* *μεθ' ἡμέραν* SA, post *παλλάδιον* transpos. E; del. *Hr.*, sed conf. Comm. Ribb. p. 142 21. *διηρτημένον* A Tzetz., corr. *He.*

144 [ἱστορία δὲ ἡ περὶ τοῦ παλλαδίου τοιάδε φέρεται· 4
φασὶ γεννηθεῖσαν τὴν Ἀθηνᾶν παρὰ Τρίτωνι τρέφε-
σθαι, ᾧ θυγάτηρ ἦν Παλλάς· ἀμφοτέρας δὲ ἀσκούσας
τὰ κατὰ πόλεμον εἰς φιλονεικίαν ποτὲ προελθεῖν. μελ- 5
λούσης δὲ πλήττειν τῆς Παλλάδος τὸν Δία φοβηθέντα
τὴν αἰγίδα προτεῖναι, τὴν δὲ εὐλαβηθεῖσαν ἀναβλέψαι,
145 καὶ οὕτως ὑπὸ τῆς Ἀθηνᾶς τρωθεῖσαν πεσεῖν. Ἀθη- 6
νᾶν δὲ περίλυπον ἐπ᾽ αὐτῇ γενομένην, ξόανον ἐκείνης
ὅμοιον κατασκευάσαι, καὶ περιθεῖναι τοῖς στέρνοις ἣν
ἔδεισεν αἰγίδα, καὶ τιμᾶν ἱδρυσαμένην παρὰ τῷ Διί.
ὕστερον δὲ Ἠλέκτρας κατὰ τὴν φθορὰν τούτῳ προσ- 7
φυγούσης, Δία ῥῖψαι μετ᾽ αὐτῆς καὶ τὸ παλλάδιον
εἰς τὴν Ἰλιάδα χώραν, Ἶλον δὲ τούτῳ ναὸν κατασκευά-
σαντα τιμᾶν. καὶ περὶ μὲν τοῦ παλλαδίου ταῦτα
λέγεται.]
146 Ἶλος δὲ γήμας Εὐρυδίκην τὴν Ἀδράστου Λαομέ- 8
δοντα ἐγέννησεν, ὃς γαμεῖ Στρυμὼ τὴν Σκαμάνδρου,
κατὰ δέ τινας Πλακίαν τὴν Ὀτρέως, κατ᾽ ἐνίους δὲ
Λευκίππην, καὶ τεκνοῖ παῖδας μὲν Τιθωνὸν Λάμπον
Κλυτίον Ἱκετάονα Ποδάρκην, θυγατέρας δὲ Ἡσιόνην
καὶ Κίλλαν καὶ Ἀστυόχην, ἐκ δὲ νύμφης Καλύβης
Βουκολίωνα.

1.—15. uncis inclusa recte del. *He.* 1. τοιάδε Tzetz. *Fab.*: τοιήδε SA 2. τὴν om. S 5. πλήσσειν S 6. προθεῖναι R προσθεῖναι S προσθεῖναι R[a] προσθῆναι A, corr. *Fab.* 9. κατασκευάσαι * R: κατασκευάσας (compend.) S κατασκευάσασα A
10. ἔδεισεν S: ἔδεισαν A 11. κατὰ SA: μετὰ *Br.* 12. διαρρίψαι SA, corr. *Gal.* μετ᾽ αὐτῆς SA, del. *He.*; μετ᾽ Ἄτης *Gal.* 13. τούτῳ S: τούτου A Tzetz., τοῦτο *He.* ναὸν καὶ *B* 17. στρυμμὼ *B* 18. ἀτρέως A, corr. *Hr.*
19. λευκι´ (ππ, supra) R: λευκίππου A λάμπον R: λάμπ̄ων R[a] λάμπωνα A
20. κλύτιον A 20 s. de Laomedontis filiabus conf. ep. 6, 15c 21 s. καλύβου κωλίωνα *B* 21. Καλύκης propos. *G. Dindorfius*

4 Τιθωνὸν μὲν οὖν Ἠὼς ἁρπάσασα δι' ἔρωτα εἰς Αἰ- 147
θιοπίαν κομίζει, κἀκεῖ συνελθοῦσα γεννᾷ παῖδας Ἠμα-
5 θίωνα καὶ Μέμνονα. μετὰ δὲ τὸ αἱρεθῆναι Ἴλιον ὑπὸ
Ἡρακλέους, ὡς μικρὸν πρόσθεν ἡμῖν λέλεκται, ἐβασί-
λευσε Ποδάρκης ὁ κληθεὶς Πρίαμος· καὶ γαμεῖ πρώτην
Ἀρίσβην τὴν Μέροπος, ἐξ ἧς αὐτῷ παῖς Αἴσακος γίνε-
ται, ὃς ἔγημεν Ἀστερόπην τὴν Κεβρῆνος θυγατέρα, ἣν
2 πενθῶν ἀποθανοῦσαν ἀπωρνεώθη. Πρίαμος δὲ Ἀρίσβην 148
ἐκδοὺς Ὑρτάκῳ δευτέραν ἔγημεν Ἑκάβην τὴν Δύμαν-
τος, ἢ ὥς τινές φασι Κισσέως, ἢ ὡς ἕτεροι λέγουσι Σαγ-
γαρίου ποταμοῦ καὶ Μετώπης. γεννᾶται δὲ αὐτῷ
πρῶτος μὲν Ἕκτωρ· δευτέρου δὲ γεννᾶσθαι μέλλοντος
βρέφους ἔδοξεν Ἑκάβη καθ' ὕπνους δαλὸν τεκεῖν διάπυ-
ρον, τοῦτον δὲ πᾶσαν ἐπινέμεσθαι τὴν πόλιν καὶ καίειν.
3 μαθὼν δὲ Πρίαμος παρ' Ἑκάβης τὸν ὄνειρον, Αἴσακον 149
τὸν υἱὸν μετεπέμψατο· ἦν γὰρ ὀνειροκρίτης παρὰ τοῦ μη-
τροπάτορος Μέροπος διδαχθείς. οὗτος εἰπὼν τῆς πατρί-
δος γενέσθαι τὸν παῖδα ἀπώλειαν, ἐκθεῖναι τὸ βρέφος
4 ἐκέλευε. Πρίαμος δέ, ὡς ἐγεννήθη τὸ βρέφος, δίδω-
σιν ἐκθεῖναι οἰκέτῃ κομίσαντι εἰς Ἴδην· ὁ δὲ οἰκέτης
Ἀγέλαος ὠνομάζετο. τὸ δὲ ἐκτεθὲν ὑπὸ τούτου βρέφος 150
πένθ' ἡμέρας ὑπὸ ἄρκτου ἐτράφη. ὁ δὲ σωζόμενον εὑ-

2. παῖδας] R fol. 30ᵛ 4. μικρῷ A, corr. *Aeg.* πρόσθεν λέλεκται] II 136 6. αἴσοκος *B* 7. ἔγημε στερόπην SA, corr. *Aeg.* 9. ἐκδόμενος ὑρκακῷ S δύματος S 10. σαγγαρίου S(R?) Rᵃ: ἀσαγγαρίου A 11. αὐτῷ *S: αὐτῇ A 13. καθ' ὕπνους *SR: καθ' ὕπαρ A 16. μετεπέμψατο S: κατεπέμψατο A 19. ἐκέλευε *SA: ἐκέλευσε edd. 20. ἐκθεῖν[αι] οἰκέ[τ] R: ἐλθεῖναι οὐκέτι Rᵃ*B* ἐλθεῖν οὐκέτι *C* κομίσαντι *SA: κομίσοντι edd. 21. Ἀγέλαος SA: Ἀρχέλαος Tzetz. Lycophr. 138, Ἀρχιάλας (Ἀγχίαλος corr. *C. Müllerus*) Asclepiad. ap. schol. Hom. *Γ* 325 ὑπὸ τούτου βρέφος SA] 'verba suspecta' *Hr.* 22. ἄρκτου SR: ἄρτου A

ρὼν ἀναιρεῖται, καὶ κομίσας ἐπὶ τῶν χωρίων ὡς ἴδιον
παῖδα ἔτρεφεν, ὀνομάσας Πάριν. γενόμενος δὲ νεανί- 5
σκος καὶ πολλῶν διαφέρων κάλλει τε καὶ ῥώμῃ αὖθις
Ἀλέξανδρος προσωνομάσθη, λῃστὰς ἀμυνόμενος καὶ τοῖς
ποιμνίοις ἀλεξήσας. καὶ μετ' οὐ πολὺ τοὺς γονέας
ἀνεῦρε.

151 μετὰ τοῦτον ἐγέννησεν Ἑκάβη θυγατέρας μὲν 6
Κρέουσαν Λαοδίκην Πολυξένην Κασάνδραν, ᾗ συνελθεῖν
βουλόμενος Ἀπόλλων τὴν μαντικὴν ὑπέσχετο διδάξειν.
ἡ δὲ μαθοῦσα οὐ συνῆλθεν· ὅθεν Ἀπόλλων ἀφείλετο
τῆς μαντικῆς αὐτῆς τὸ πείθειν. αὖθις δὲ παῖδας ἐγέν- 7
νησε Δηίφοβον Ἕλενον Πάμμονα Πολίτην Ἄντιφον
Ἱππόνοον Πολύδωρον Τρωίλον· τοῦτον ἐξ Ἀπόλλωνος
λέγεται γεγεννηκέναι.

152 ἐκ δὲ ἄλλων γυναικῶν Πριάμῳ παῖδες γίνονται 8
Μελάνιππος Γοργυθίων Φιλαίμων Ἱππόθοος Γλαῦκος,
Ἀγάθων Χερσιδάμας Εὐαγόρας Ἱπποδάμας Μήστωρ,
Ἄτας Δόρυκλος Λυκάων Δρύοψ Βίας, Χρομίος Ἀστύ-
153 γονος Τελέστας Εὔανδρος Κεβριόνης, Μύλιος Ἀρχέμα- 9
χος Λαοδόκος Ἐχέφρων Ἰδομενεύς, Ὑπερίων Ἀσκάνιος
Δημοκόων Ἄρητος Δηιοπίτης, Κλονίος Ἐχέμμων Ὑπεί-
ροχος Αἰγεωνεὺς Λυσίθοος Πολυμέδων, θυγατέρες δὲ
Μέδουσα Μηδεσικάστη Λυσιμάχη Ἀριστοδήμη.

4. ἀμυνόμενος SA: ἀμυνάμενος *Hr.* 5. ἀλεξήσας] ὅπερ ἐστὶ βοηθήσας add. SA, del. *He.* 8. κασάνδραν ESA 11. αὐτῆς S αὐτῇ E αὐτ˜ R: αὐτοῦ A 11 ss. de Priami liberis conf. **Hyg. fab. 90** 15. παῖδες ⟨μὲν⟩ *Hr.* 18. Ἄττας *Hr.* δρύωψ A, corr. *He.* βίβας A, corr. *Aeg.* (*Biantes* codd. Hyg.) χρόμιος A Ἀστύνομος (Hyg. 90 et 113) *Hr.* 19. μύλιος *R: μήλιος A edd. (conf. Steph. Byz.: Μύλιοι ἔθνος Φρυγίας. Ἑκαταῖος Ἀσίᾳ) 21. Ἄρητος Hom. *P* 494 *He.*: ἄρρητος A δηιοπτικλόνιος *C* κλόνιος A ἐχέμμων RP: ἐχέμων A ὑπείροχος R: ὑπείρυχος A 22. αἰγερονεὺς R[a], Ἐτεωνεὺς *Hr.* 23. μηδεσικάστη R: μεδεσικάστη A

6 *Ἕκτωρ μὲν οὖν Ἀνδρομάχην τὴν Ἠετίωνος γαμεῖ,* 154
Ἀλέξανδρος δὲ Οἰνώνην τὴν Κεβρῆνος τοῦ ποταμοῦ θυ-
γατέρα. αὕτη παρὰ Ῥέας τὴν μαντικὴν μαθοῦσα προέ-
λεγεν Ἀλεξάνδρῳ μὴ πλεῖν ἐπὶ Ἑλένην. μὴ πείθουσα
δὲ εἶπεν, ἐὰν τρωθῇ, παραγενέσθαι πρὸς αὐτήν· μόνην
2 *γὰρ θεραπεῦσαι δύνασθαι. τὸν δὲ Ἑλένην ἐκ Σπάρτης* 155
ἁρπάσαι, πολεμουμένης δὲ Τροίας τοξευθέντα ὑπὸ Φι-
λοκτήτου τόξοις Ἡρακλείοις πρὸς Οἰνώνην ἐπανελθεῖν
3 *εἰς Ἴδην. ἡ δὲ μνησικακοῦσα θεραπεύσειν οὐκ ἔφη.*
Ἀλέξανδρος μὲν οὖν εἰς Τροίαν κομιζόμενος ἐτελεύτα,
Οἰνώνη δὲ μετανοήσασα τὰ πρὸς θεραπείαν φάρμακα
ἔφερε, καὶ καταλαβοῦσα αὐτὸν νεκρὸν ἑαυτὴν ἀνήρ-
τησεν.

---

4 *Ὁ δὲ Ἀσωπὸς ποταμὸς Ὠκεανοῦ καὶ Τηθύος, ὡς δὲ* 156
Ἀκουσίλαος λέγει, Πηροῦς καὶ Ποσειδῶνος, ὡς δέ τινες,
Διὸς καὶ Εὐρυνόμης. τούτῳ Μετώπη γημαμένη (Λά-
δωνος δὲ τοῦ ποταμοῦ θυγάτηρ αὕτη) δύο μὲν παῖδας
ἐγέννησεν, Ἰσμηνὸν καὶ Πελάγοντα, εἴκοσι δὲ θυγατέ-
5 *ρας, ὧν μὲν μίαν Αἴγιναν ἥρπασε Ζεύς. ταύτην Ἀσω-* 157
πὸς ζητῶν ἧκεν εἰς Κόρινθον, καὶ μανθάνει παρὰ Σι-
σύφου τὸν ἡρπακότα εἶναι Δία. Ζεὺς δὲ Ἀσωπὸν μὲν
κεραυνώσας διώκοντα πάλιν ἐπὶ τὰ οἰκεῖα ἀπέπεμψε
ῥεῖθρα (διὰ τοῦτο μέχρι καὶ νῦν ἐκ τῶν τούτου ῥείθρων

2. *τὴν* A: *τοῦ* S 3. *προέλεγεν* *SA: *προύλεγεν* edd. 5. *μόνην* *SR: *μόνη* A 9. *θεραπεύσειν* S, R (compend.): *θεραπεῦσαι* A 14. *ποταμοῦ* A, corr. *Aeg.* 15. Acusil. frg. 22 16. *τό[τ]ῦ μετ[π]ῶ' γημαμε[η]ν'* *R: *οὗτος μετώπην γημάμενος* A edd. 18. *Πελάγοντα*] *Πελασγός* Diod. IV 72, 1 *κ̄* A] duodecim enumerat Diod. ibid. 19. *μὲν* del. *Hr.* 23. *ἐπὶ τῶν He.* 23 s. *διὰ* — *φέρονται* del. *Hr.*

ἄνθρακες φέρονται), Αἴγιναν δὲ κομίσας εἰς τὴν τότε 6
Οἰνώνην λεγομένην νῆσον, νῦν δὲ Αἴγιναν ἀπ' ἐκείνης
κληθεῖσαν, μίγνυται, καὶ τεκνοῖ παῖδα ἐξ αὐτῆς Αἰακόν.
158 *τούτῳ Ζεὺς ὄντι μόνῳ ἐν τῇ νήσῳ τοὺς μύρμηκας ἀν-*
θρώπους ἐποίησε. γαμεῖ δὲ Αἰακὸς Ἐνδηίδα τὴν Σκεί- 7
ρωνος, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο Πηλεύς τε καὶ Τε-
λαμών. Φερεκύδης δέ φησι Τελαμῶνα φίλον, οὐκ ἀδελ-
φὸν Πηλέως εἶναι, ἀλλ' Ἀκταίου παῖδα καὶ Γλαύκης
τῆς Κυχρέως. μίγνυται δὲ αὖθις Αἰακὸς Ψαμάθῃ τῇ 8
Νηρέως εἰς φώκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι
συνελθεῖν, καὶ τεκνοῖ παῖδα Φῶκον.

159 *ἦν δὲ εὐσεβέστατος πάντων Αἰακός. διὸ καὶ τὴν* 9
Ἑλλάδα κατεχούσης ἀφορίας διὰ Πέλοπα, ὅτι Στυμφάλῳ
τῷ βασιλεῖ τῶν Ἀρκάδων πολεμῶν καὶ τὴν Ἀρκαδίαν
ἑλεῖν μὴ δυνάμενος, προσποιησάμενος φιλίαν ἔκτεινεν
αὐτὸν καὶ διέσπειρε μελίσας, χρησμοὶ θεῶν ἔλεγον 10
ἀπαλλαγήσεσθαι τῶν ἐνεστώτων κακῶν τὴν Ἑλλάδα,
ἐὰν Αἰακὸς ὑπὲρ αὐτῆς εὐχὰς ποιήσηται ποιησαμένου
δὲ εὐχὰς Αἰακοῦ τῆς ἀκαρπίας ἡ Ἑλλὰς ἀπαλλάττεται.
τιμᾶται δὲ καὶ παρὰ Πλούτωνι τελευτήσας Αἰακός, καὶ
τὰς κλεῖς τοῦ Ἅιδου φυλάττει.

160 *διαφέροντος δὲ ἐν τοῖς ἀγῶσι Φώκου, τοὺς ἀδελ-* 11
φοὺς Πηλέα καὶ Τελαμῶνα ἐπιβουλεῦσαι· καὶ λαχὼν

1. *κομίσας Hr.*, *κομίζει* E *ἐκόμισεν* **S p. 184, 34**: *εἰσκομίσας* A 5. *ἐποίησε*] *συνεῖναι μετὰ Αἰακοῦ* add. S 6. *αὐτοῦ B ἐγένοντο παῖδες αὐτῷ* S 7. Pherecyd. frg. 15 8. *ἀκταίου* SA: *Ἄκτορος Gal.* 9. *κυχρέως* SR: *κυθρέως* A *Ψαμάθῃ*] **R fol. 29r** *ψαμάθῃ* R: *ψαμάθω* A 10. *φώκην* S: *φύκην* ROR[a] *φύλην* A *ἠλλαγμένην* RR[a]*B*V 11. *συνελθεῖν* R (difficile lectu): *ἀνελθεῖν* A 12. *πάντων* *ES (*ἀνθρώπων* add. S): *ἀπάντων* A 14. *καὶ* * add. E 16. *μελίσας* ER: *μελίσσας* A *χρησμοὶ* S: *χρησμοὶ δὲ* A 22. *ἀδελφοὺς*] *φασιν* add. *Eberhardus* Jen. Litt.-Ztg. 1874 p. 429 22 ss.] conf. Diod. IV, 72, 6: *Πηλεὺς δίσκῳ βαλὼν ἀπέκτεινεν ἀκουσίως Φῶκον*

*κλήρῳ Τελαμὼν συγγυμναζόμενον αὐτὸν βαλὼν δίσκῳ
κατὰ τῆς κεφαλῆς κτείνει, καὶ κομίσας μετὰ Πηλέως
κρύπτει κατά τινος ὕλης. φωραθέντος δὲ τοῦ φόνου* 161
7 *φυγάδες ἀπὸ Αἰγίνης ὑπὸ Αἰακοῦ ἐλαύνονται. καὶ Τε-
λαμὼν μὲν εἰς Σαλαμῖνα παραγίνεται πρὸς Κυχρέα τὸν
⟨Ποσειδῶνος καὶ⟩ Σαλαμῖνος τῆς Ἀσωποῦ. κτείνας δὲ
ὄφιν οὗτος ἀδικοῦντα τὴν νῆσον † ἧς αὐτὸς ἐβασίλευε,
καὶ τελευτῶν ἄπαις τὴν βασιλείαν παραδίδωσι Τελα-*
2 *μῶνι. ὁ δὲ γαμεῖ Περίβοιαν τὴν Ἀλκάθου τοῦ Πέλοπος·* 162
*καὶ ποιησαμένου εὐχὰς Ἡρακλέους ἵνα αὐτῷ παῖς ἄρρην
γένηται, φανέντος δὲ μετὰ τὰς εὐχὰς αἰετοῦ, τὸν γεν-*
3 *νηθέντα ἐκάλεσεν Αἴαντα. καὶ στρατευσάμενος ἐπὶ
Τροίαν σὺν Ἡρακλεῖ λαμβάνει γέρας Ἡσιόνην τὴν Λαο-
μέδοντος θυγατέρα, ἐξ ἧς αὐτῷ γίνεται Τεῦκρος.*
13 *Πηλεὺς δὲ εἰς Φθίαν φυγὼν πρὸς Εὐρυτίωνα τὸν* 163
*Ἄκτορος ὑπ' αὐτοῦ καθαίρεται, καὶ λαμβάνει παρ' αὐ-
τοῦ τὴν θυγατέρα Ἀντιγόνην καὶ τῆς χώρας τὴν τρί-
την μοῖραν. καὶ γίνεται θυγάτηρ αὐτῷ Πολυδώρα, ἣν*
2 *ἔγημε Βῶρος ὁ Περιήρους. ἐντεῦθεν ἐπὶ τὴν θήραν
τοῦ Καλυδωνίου κάπρου μετ' Εὐρυτίωνος ἐλθών, προ-
έμενος ἐπὶ τὸν σῦν ἀκόντιον Εὐρυτίωνος τυγχάνει καὶ
κτείνει τοῦτον ἄκων. πάλιν οὖν ἐκ Φθίας φυγὼν εἰς* 164
Ἰωλκὸν πρὸς Ἄκαστον ἀφικνεῖται καὶ ὑπ' αὐτοῦ καθαί-

1. *λαβὼν* RR[ac] 6. *Ποσειδῶνος καὶ* add. *Aeg.* 7. *νῆσον αὐτῆς ἐβασίλευε He.* 8. *καὶ* del. *Hr.*; an *ἧς* delendum? 9. *Περίβοιαν* A (schol. Hom. *Π* 14): *Ἐρίβοια* Pind. Isthm. 6, 45, Diod. IV 72, 7 *ἀλκάνδρου* A, corr. *Aeg.* (fort. *Ἀλκαθόου*) 11. *ἀετοῦ* A, corr. *Hr.* 12. *ἐκάλεσαν* *B*V 14. *αὐτ῀* R: *αὐτοῦ* *B* 15. *εὔρυτον* A Tzetz. Lycophr. 175 p. 445 M., corr. *Aeg.* (v. infra l. 20 ss. et I 68) 18 s. *καὶ γίνεται — Περιήρους* del. *Fuchsius* Quaest. Troic. p. 81 (v. p. 154 l. 22) 18. *αὐτῷ* RR[a]: *αὐτοῦ* A 19. *ἐντεῦθεν* *A: *ἐντεῦθεν δὲ* edd. 21. ⟨*τὸ*⟩ *ἀκόντιον Hr.*

ρεται. ἀγωνίζεται δὲ καὶ τὸν ἐπὶ Πελίᾳ ἀγῶνα, πρὸς 3
Ἀταλάντην διαπαλαίσας. καὶ Ἀστυδάμεια ἡ Ἀκάστου
γυνή, Πηλέως ἐρασθεῖσα, περὶ συνουσίας προσέπεμψεν
165 αὐτῷ λόγους. μὴ δυναμένη δὲ πεῖσαι, πρὸς τὴν γυναῖκα 2
αὐτοῦ πέμψασα ἔφη μέλλειν Πηλέα γαμεῖν Στερόπην
τὴν Ἀκάστου θυγατέρα· καὶ τοῦτο ἐκείνη ἀκούσασα
ἀγχόνην ἀνάπτει. Πηλέως δὲ πρὸς Ἄκαστον καταψεύ-
δεται, λέγουσα ὑπ' αὐτοῦ περὶ συνουσίας πεπειρᾶσθαι.
Ἄκαστος ⟨δὲ⟩ ἀκούσας κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ 3
ἠβουλήθη, ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον.
166 ἔνθα ἁμίλλης περὶ θήρας γενομένης, Πηλεὺς μὲν ὧν
ἐχειροῦτο θηρίων τὰς γλώσσας τούτων ἐκτέμνων εἰς
πήραν ἐτίθει, οἱ δὲ μετὰ Ἀκάστου ταῦτα χειρούμενοι
κατεγέλων ὡς μηδὲν τεθηρακότος τοῦ Πηλέως. ὁ δὲ 4
τὰς γλώσσας παρασχόμενος ὅσας εἶχεν ἐκείνοις, το-
167 σαῦτα ἔφη τεθηρευκέναι. ἀποκοιμηθέντος δὲ αὐτοῦ ἐν
τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ
τῶν βοῶν κόπρῳ κρύψας ἐπανέρχεται. ὁ δὲ ἐξαναστὰς 5
καὶ ζητῶν τὴν μάχαιραν, ὑπὸ τῶν Κενταύρων κατα-
ληφθεὶς ἔμελλεν ἀπόλλυσθαι, σώζεται δὲ ὑπὸ Χείρωνος·
οὗτος καὶ τὴν μάχαιραν αὐτοῦ ἐκζητήσας δίδωσι.
168 γαμεῖ δὲ ὁ Πηλεὺς Πολυδώραν τὴν Περιήρους, ἐξ 4
ἧς αὐτῷ γίνεται Μενέσθιος ἐπίκλην, ὁ Σπερχειοῦ τοῦ
ποταμοῦ. αὖθις δὲ γαμεῖ Θέτιν τὴν Νηρέως, περὶ ἧς 5

1. μελία R μελίᾳ A, corr. *Aeg.* 2. καὶ om. R ἀστυμάδεια R ἡ * add. R 8. αὐτῶν vel αὐτοῦ R (compend.): αὐτῆς A 9. δὲ add. *Hr.*, ὃ Ἄκαστος *Emperius* 10. θήραν R: θήρας A 11. ἔνθ R: ἔνθεν A μὲν R: μὲν οὖν A 12. τούτων del. *He.* ἐκτεμὼν R^a *Hr.* 13. πήραν ἐτίθει R (compend.), R^a: πίω ἀνετίθει A ταὐτὰ *Sommerus* 14. τεθηρακότος *RR^a*B*: τεθηρευκότος *C* edd. 16. δὲ add. R 17. Ἄκαστος] ἕκαστος RR^a 22. γαμεῖ — Περιήρους] v. p. 153 l. 18 s. 23. αὐτῷ R (compend.), R^aLT: αὐτοῦ *BV*

*τοῦ γάμου Ζεὺς καὶ Ποσειδῶν ἤρισαν, Θέμιδος δὲ θε-
σπιῳδούσης ἔσεσθαι τὸν ἐκ ταύτης γεννηθέντα κρείτ-
2 τονα τοῦ πατρὸς ἀπέσχοντο. ἔνιοι δέ φασι, Διὸς ὁρμῶν-* 169
*τος ἐπὶ τὴν ταύτης συνουσίαν, εἰρηκέναι Προμηθέα τὸν
ἐκ ταύτης αὐτῷ γεννηθέντα οὐρανοῦ δυναστεύσειν.
τινὲς δὲ λέγουσι Θέτιν μὴ βουληθῆναι Διὶ συνελθεῖν
ὡς ὑπὸ Ἥρας τραφεῖσαν, Δία δὲ ὀργισθέντα θνητῷ θέ-
3 λειν αὐτὴν συνοικίσαι. Χείρωνος οὖν ὑποθεμένου Πη-* 170
*λεῖ συλλαβεῖν καὶ κατασχεῖν αὐτὴν μεταμορφουμένην,
ἐπιτηρήσας συναρπάζει, γινομένην δὲ ὁτὲ μὲν πῦρ ὁτὲ
δὲ ὕδωρ ὁτὲ δὲ θηρίον οὐ πρότερον ἀνῆκε πρὶν ἢ τὴν
4 ἀρχαίαν μορφὴν εἶδεν ἀπολαβοῦσαν. γαμεῖ δὲ ἐν τῷ
Πηλίῳ, κἀκεῖ θεοὶ τὸν γάμον εὐωχούμενοι καθύμνη-
σαν. καὶ δίδωσι Χείρων Πηλεῖ δόρυ μείλινον, Ποσει-
δῶν δὲ ἵππους Βαλίον καὶ Ξάνθον· ἀθάνατοι δὲ ἦσαν
οὗτοι.*

6 *ὡς δὲ ἐγέννησε Θέτις ἐκ Πηλέως βρέφος, ἀθάνατον* 171
*θέλουσα ποιῆσαι τοῦτο, κρύφα Πηλέως εἰς τὸ πῦρ ἐγκρύ-
βουσα τῆς νυκτὸς ἔφθειρεν ὃ ἦν αὐτῷ θνητὸν πατρῷον,
2 μεθ' ἡμέραν δὲ ἔχριεν ἀμβροσίᾳ. Πηλεὺς δὲ ἐπιτηρήσας
καὶ σπαίροντα τὸν παῖδα ἰδὼν ἐπὶ τοῦ πυρὸς ἐβόησε·*

1. *θέμιδος* ER: *θέτιδος* A (idem in E, erasa littera *μ*, restituit manus prima) 3. *ἀπέσχοντο* E, R (compend.): *ἀπέσχοντα* Rᵃ *ἀπόσχοντα B ἀποσχόντα C* 5. *δυναστεύειν* A, corr. *Gal.* (*ἔσεσθαι κρείττονα τοῦ πατρὸς* E) 6. *Θέτιν μὴ βουληθῆναι* *R: *μὴ βουληθῆναι Θέτιν* A 7. *ὡς* * add. E *θέλειν* *A: *ἐθέλειν* edd. 8. *αὐτὴν* E: *αὐτῇ* A *συνοικίσειν* E *συνοικῆσαι* A, corr. *Staverenus* *οὖν* *EA: *μὲν οὖν* edd. 9. *κατασχεῖν* *ER: *κατ' εὐχὴν* Rᵃ*B* *κατέχειν C* 12. *δὲ* EA] *ταύτην* add. S 14. *δίδωσι Χείρων* A **S. p. 185, 15**: *Χείρων μὲν δίδωσι* E 15. *βάλιον* *ESA: *Βαλίον τε* edd. recc. 16. *οὗτοι* EA] *οἱ ἵπποι* add. S 18. *κρύφα*] **R fol. 29ᵛ** *τὸ* ESA, del. *Hr.* *ἐγκρύβουσα* SA: *ἐγκρύπτουσα* E 21. *ἐβόησε* ESA: *ἀνεβόησε Hr.* (conf. I 31)

καὶ Θέτις κωλυθεῖσα τὴν προαίρεσιν τελειῶσαι, νήπιον
172 *τὸν παῖδα ἀπολιποῦσα πρὸς Νηρηίδας ᾤχετο. κομίζει*
δὲ τὸν παῖδα πρὸς Χείρωνα Πηλεύς. ὁ δὲ λαβὼν αὐτὸν 3
ἔτρεφε σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων
μυελοῖς, καὶ ὠνόμασεν Ἀχιλλέα (πρότερον δὲ ἦν ὄνομα
αὐτῷ Λιγύρων) ὅτι τὰ χείλη μαστοῖς οὐ προσήνεγκε.

173 *Πηλεὺς δὲ μετὰ ταῦτα σὺν Ἰάσονι καὶ Διοσκούροις* 7
ἐπόρθησεν Ἰωλκόν, καὶ Ἀστυδάμειαν τὴν Ἀκάστου γυ-
ναῖκα φονεύει, καὶ διελὼν μεληδὸν διήγαγε δι' αὐτῆς
τὸν στρατὸν εἰς τὴν πόλιν.

174 *ὡς δὲ ἐγένετο ἐνναετὴς Ἀχιλλεύς, Κάλχαντος λέ-* 8
γοντος οὐ δύνασθαι χωρὶς αὐτοῦ Τροίαν αἱρεθῆναι,
Θέτις προειδυῖα ὅτι δεῖ στρατευόμενον αὐτὸν ἀπολέ-
σθαι, κρύψασα ἐσθῆτι γυναικείᾳ ὡς παρθένον Λυκομή-
δει παρέθετο. κἀκεῖ τρεφόμενος τῇ Λυκομήδους θυγα- 2
τρὶ Δηιδαμείᾳ μίγνυται, καὶ γίνεται παῖς Πύρρος αὐτῷ
ὁ κληθεὶς Νεοπτόλεμος αὖθις. Ὀδυσσεὺς δὲ μηνυθέντα
παρὰ Λυκομήδει ζητῶν Ἀχιλλέα, σάλπιγγι χρησάμενος
εὗρε. καὶ τοῦτον τὸν τρόπον εἰς Τροίαν ἦλθε.

175 *συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ Ἀμύντορος. οὗτος ὑπὸ* 3
τοῦ πατρὸς ἐτυφλώθη καταψευσαμένης φθορὰν Φθίας
τῆς τοῦ πατρὸς παλλακῆς. Πηλεὺς δὲ αὐτὸν πρὸς Χεί-
ρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευθέντα τὰς ὄψεις
βασιλέα κατέστησε Δολόπων.

5. *δὲ* *ES: *μὲν* A 9. *μέλη* A, corr. *Coraës* 11. *ἐν-ναέτης* S *Κάλχαντος* EA] *τοῦ μάντεως* add. S 12. *αὐτῷ* S 14. *αἰσθῆτι* ER *Λυκομήδει* * add. ES (*Πηλεὺς . . . παραγενόμενος εἰς Σκῦρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα* schol. rec. Hom. *T* 326) 16. *αὐτοῦ* *B*T 17. *μηνυθέντος* S 18. *λυκομήδει* ES, R (compend.): *λυκομήδου* A 21. *καταψευσάμενος* *B* *φθορὰν* ES: *φθορᾷ* A 22. *παλλακῆς* *ES schol. Plat. Legg. XI p. 931 b: *παλλα-κίδος* A

4 συνείπετο δὲ καὶ Πάτροκλος ὁ Μενοιτίου καὶ Σθε-176
νέλης τῆς Ἀκάστου ἢ Περιώπιδος τῆς Φέρητος, ἢ κα-
θάπερ φησὶ Φιλοκράτης, Πολυμήλης τῆς Πηλέως. οὗτος
ἐν Ὀποῦντι διενεχθεὶς ἐν παιδιᾷ περὶ ἀστραγάλων παί-
ζων παῖδα Κλειτώνυμον τὸν Ἀμφιδάμαντος ἀπέκτεινε,
καὶ φυγὼν μετὰ τοῦ πατρὸς παρὰ Πηλεῖ κατῴκει, καὶ
Ἀχιλλέως ἐρώμενος γίνεται...

---

14 Κέκροψ αὐτόχθων, συμφυὲς ἔχων σῶμα ἀνδρὸς καὶ 177
δράκοντος, τῆς Ἀττικῆς ἐβασίλευσε πρῶτος, καὶ τὴν
γῆν πρότερον λεγομένην Ἀκτὴν ἀφ' ἑαυτοῦ Κεκροπίαν
ὠνόμασεν. ἐπὶ τούτου, φασίν, ἔδοξε τοῖς θεοῖς πόλεις 178
καταλαβέσθαι, ἐν αἷς ἔμελλον ἕξειν τιμὰς ἰδίας ἕκαστος.
2 ἧκεν οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πλή-
ξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν ἀπέφηνε θά-
λασσαν, ἣν νῦν Ἐρεχθηίδα καλοῦσι. μετὰ δὲ τοῦτον
ἧκεν Ἀθηνᾶ, καὶ ποιησαμένη τῆς καταλήψεως Κέκροπα
μάρτυρα ἐφύτευσεν ἐλαίαν, ἣ νῦν ἐν τῷ Πανδροσείῳ
3 δείκνυται. γενομένης δὲ ἔριδος ἀμφοῖν περὶ τῆς χώρας, 179
Ἀθηνᾷ καὶ Ποσειδῶνι διαλύσας Ζεὺς κριτὰς ἔδωκεν,
οὐχ ὡς εἶπόν τινες, Κέκροπα καὶ Κραναόν, οὐδὲ Ἐρυ-

1. μενοῖ R μενοίτου R[a] C 2. περιώπιδος *R: περιάπιδος A 3. Φιλοκράτης (frg. 2, FHG. IV p. 477): Φιλοστέφανος propos. *R. Stiehle* Phil. IV p. 393 s. (conf. schol. Hom. *Π* 14) πολυμήλου A, corr. *Gal.* τῆς R: τοῦ A 4. παίζων A, del. *He.*; παῖς ὢν *Hr.* (περὶ ἀστραγάλων ὀργισθεὶς schol. Hom. *M* 1) 5. κλειτώνυμον RO: κλυτώνυμον A; Κλεισώνυμος Pherecyd. (schol. *Ψ* 87), Hellanic. (schol. *M* 1), Philosteph. (schol. *Π* 14) 7. lacun. indic. *He.* 16. καταλήψεως ER[a], R (compend.): καταλύσεως A 17. Πανδροσείῳ *Br.*: πανδροσίῳ EA
19. Ἀθηνᾷ καὶ Ποσειδῶνι * κριτὰς δίδωσιν ὁ Ζεὺς E: Ἀθηνᾶν καὶ Ποσειδῶνα διαλύσας Ζεὺς κριτὰς ἔδωκε A (Ἀθηνᾶν καὶ Ποσειδῶνα del. *He.*) 20. δαναὸν A, corr. *Aeg.* ἐρυσίχθονα R: ἐρεσίχθονα A

σίχθονα, θεοὺς δὲ τοὺς δώδεκα. καὶ τούτων δικαζόν- 4
των ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρή-
σαντος ὅτι πρώτη τὴν ἐλαίαν ἐφύτευσεν. Ἀθηνᾶ μὲν
οὖν ἀφ' ἑαυτῆς τὴν πόλιν ἐκάλεσεν Ἀθήνας, Ποσειδῶν
δὲ θυμῷ ὀργισθεὶς τὸ Θριάσιον πεδίον ἐπέκλυσε καὶ
τὴν Ἀττικὴν ὕφαλον ἐποίησε.

180 *Κέκροψ δὲ γήμας τὴν Ἀκταίου κόρην Ἄγραυλον* 2
παῖδα μὲν ἔσχεν Ἐρυσίχθονα, ὃς ἄτεκνος μετήλλαξε,
θυγατέρας δὲ Ἄγραυλον Ἕρσην Πάνδροσον. Ἀγραύλου
μὲν οὖν καὶ Ἄρεος Ἀλκίππη γίνεται. ταύτην βιαζόμε- 2
νος Ἁλιρρόθιος, ὁ Ποσειδῶνος καὶ νύμφης Εὐρύτης,
ὑπὸ Ἄρεος φωραθεὶς κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ
πάγῳ κρίνεται δικαζόντων τῶν δώδεκα θεῶν Ἄρει, καὶ
ἀπολύεται.

181 *Ἕρσης δὲ καὶ Ἑρμοῦ Κέφαλος, οὗ ἐρασθεῖσα Ἠὼς* 3
ἥρπασε καὶ μιγεῖσα ἐν Συρίᾳ παῖδα ἐγέννησε Τιθωνόν,
οὗ παῖς ἐγένετο Φαέθων, τούτου δὲ Ἀστύνοος, τοῦ δὲ
Σάνδοκος, ὃς ἐκ Συρίας ἐλθὼν εἰς Κιλικίαν, πόλιν
ἔκτισε Κελένδεριν, καὶ γήμας Φαρνάκην τὴν Μεγασ-
182 *σάρου τοῦ Ὑριέων βασιλέως ἐγέννησε Κινύραν. οὗτος* 2
ἐν Κύπρῳ, παραγενόμενος σὺν λαῷ, ἔκτισε Πάφον,
γήμας δὲ ἐκεῖ Μεθάρμην, κόρην Πυγμαλίωνος Κυπρίων
βασιλέως, Ὀξύπορον ἐγέννησε καὶ Ἄδωνιν, πρὸς δὲ

3. *ὅτε* Rª *C* *πρώτη* E, R (compend.): *πρῶτον* A (conf. *Robertum* Herm. XVI p. 72) 5. *πεδίον* add. R Rª *ἐπέκλυσε* R (compend.), Rª: *ἐπεκάλυε* *B* *ἐπεκάλυψε* *C* 8. *παῖδας* A, corr. *He.* 9. *ἀγραύλην* A, corr. *Aeg.* *ἕρσην* R: *ἕργην* A *πάνδροσον* R (ex *πάνδρεσον* corr. man. 1): *πάνδρεσον* A *ἀγραύλης* A 10. *ἀλκίππη* R (compend.): *ἄλκιππος* A 18. *σάνδοκος* *R Rª *C*: *σάνδακος* *B* edd. 19. *κελλένδεριν* A, corr. *Aeg.* *Φαρνάκην* *Munckerus*: *θαινάκην* R Rª *θανάκην* A *μεγασσάρου* *R: *μεγεσσάρου* A edd. 20. *τοῦ συρίων βασιλέως* R: *τῶν συρίων βασιλέα* A; *Ὑριέων* *Hr.* *κινύραν* R: *κινύρας* A

τούτοις θυγατέρας Ὀρσεδίκην ⟨καὶ⟩ Λαογόρην καὶ
Βραισίαν. αὗται δὲ διὰ μῆνιν Ἀφροδίτης ἀλλοτρίοις
ἀνδράσι συνευναζόμεναι τὸν βίον ἐν Αἰγύπτῳ μετήλ-
4 λαξαν. Ἄδωνις δὲ ἔτι παῖς ὢν Ἀρτέμιδος χόλῳ πληγεὶς 183
ἐν θήρᾳ ὑπὸ συὸς ἀπέθανεν. Ἡσίοδος δὲ αὐτὸν Φοί-
νικος καὶ Ἀλφεσιβοίας λέγει, Πανύασσις δέ φησι Θείαν-
τος βασιλέως Ἀσσυρίων, ὃς ἔσχε θυγατέρα Σμύρναν.
2 αὕτη κατὰ μῆνιν Ἀφροδίτης (οὐ γὰρ αὐτὴν ἐτίμα) ἴσχει
τοῦ πατρὸς ἔρωτα, καὶ συνεργὸν λαβοῦσα τὴν τροφὸν
ἀγνοοῦντι τῷ πατρὶ νύκτας δώδεκα συνευνάσθη. ὁ δὲ 184
ὡς ᾔσθετο, σπασάμενος ⟨τὸ⟩ ξίφος ἐδίωκεν αὐτήν· ἡ
δὲ περικαταλαμβανομένη θεοῖς ηὔξατο ἀφανὴς γενέσθαι.
3 θεοὶ δὲ κατοικτείραντες αὐτὴν εἰς δένδρον μετήλλαξαν,
ὃ καλοῦσι σμύρναν. δεκαμηνιαίῳ δὲ ὕστερον χρόνῳ
τοῦ δένδρου ῥαγέντος γεννηθῆναι τὸν λεγόμενον Ἄδω-
νιν, ὃν Ἀφροδίτη διὰ κάλλος ἔτι νήπιον κρύφα θεῶν
4 εἰς λάρνακα κρύψασα Περσεφόνῃ παρίστατο. ἐκείνη δὲ 185
ὡς ἐθεάσατο, οὐκ ἀπεδίδου. κρίσεως δὲ ἐπὶ Διὸς γε-
νομένης εἰς τρεῖς μοίρας διῃρέθη ὁ ἐνιαυτός, καὶ μίαν
μὲν παρ' ἑαυτῷ μένειν τὸν Ἄδωνιν, μίαν δὲ παρὰ
Περσεφόνῃ προσέταξε, τὴν δὲ ἑτέραν παρ' Ἀφροδίτῃ·
5 ὁ δὲ Ἄδωνις ταύτῃ προσένειμε καὶ τὴν ἰδίαν μοῖραν.
ὕστερον δὲ θηρεύων Ἄδωνις ὑπὸ συὸς πληγεὶς ἀπέθανε.
5 Κέκροπος δὲ ἀποθανόντος Κραναὸς ⟨ἐβασίλευσεν⟩ 186

1. καὶ addidi 5. θήραι RR[a]: θήραις A Hesiod. frg. 57 Rz. 6. λέγει] explic. R fol. 29[v] πανύασσος A: πανύασος R[a]L Panyass. frg. 25 K. θόαντος A, corr. *Gal.* 11. τὸ add. *Hr.* 14. σμύρναν R[a]: μύρναν *B* μύρνας *C* δεκαμηναίῳ R[a]*B*V 15. τὸν λεγόμενον del. *Hr.* Herm. XI p. 234 17. παρίστατο] παρέθετο *Hr.* 19. τρεῖς * add. R[a] 20. ἑαυτ˜ R[a]P: ἑαυτοῦ R[bc] αὐτοῦ LT 24. ἐβασίλευσεν add. *Gal.*

αὐτόχθων ὤν, ἐφ' οὗ τὸν ἐπὶ Δευκαλίωνος λέγεται
κατακλυσμὸν γενέσθαι. οὗτος γήμας ἐκ Λακεδαίμονος
Πεδιάδα τὴν Μύνητος ἐγέννησε Κρανάην καὶ Κρα-
ναίχμην καὶ Ἀτθίδα, ἧς ἀποθανούσης ἔτι παρθένου τὴν
χώραν Κραναὸς Ἀτθίδα προσηγόρευσε.
187 Κραναὸν δὲ ἐκβαλὼν Ἀμφικτύων ἐβασίλευσε· τοῦ- 6
τον ἔνιοι μὲν Δευκαλίωνος, ἔνιοι δὲ αὐτόχθονα λέγουσι.
βασιλεύσαντα δὲ αὐτὸν ἔτη δώδεκα Ἐριχθόνιος ἐκβάλ-
λει. τοῦτον οἱ μὲν Ἡφαίστου καὶ τῆς Κραναοῦ θυγα-
τρὸς Ἀτθίδος εἶναι λέγουσιν, οἱ δὲ Ἡφαίστου καὶ Ἀθη-
188 νᾶς, οὕτως· Ἀθηνᾶ παρεγένετο πρὸς Ἥφαιστον, ὅπλα 2
κατασκευάσαι θέλουσα. ὁ δὲ ἐγκαταλελειμμένος ὑπὸ
Ἀφροδίτης εἰς ἐπιθυμίαν ὤλισθε τῆς Ἀθηνᾶς, καὶ διώ-
κειν αὐτὴν ἤρξατο· ἡ δὲ ἔφευγεν. ὡς δὲ ἐγγὺς αὐτῆς 3
ἐγένετο πολλῇ ἀνάγκῃ (ἦν γὰρ χωλός), ἐπειρᾶτο συνελ-
θεῖν. ἡ δὲ ὡς σώφρων καὶ παρθένος οὖσα οὐκ ἠνέσχετο·
ὁ δὲ ἀπεσπέρμηνεν εἰς τὸ σκέλος τῆς θεᾶς. ἐκείνη δὲ
μυσαχθεῖσα ἐρίῳ ἀπομάξασα τὸν γόνον εἰς γῆν ἔρριψε.
φευγούσης δὲ αὐτῆς καὶ τῆς γονῆς εἰς γῆν πεσούσης 4
189 Ἐριχθόνιος γίνεται. τοῦτον Ἀθηνᾶ κρύφα τῶν ἄλλων
θεῶν ἔτρεφεν, ἀθάνατον θέλουσα ποιῆσαι· καὶ κατα-
θεῖσα αὐτὸν εἰς κίστην Πανδρόσῳ τῇ Κέκροπος παρα-
κατέθετο, ἀπειποῦσα τὴν κίστην ἀνοίγειν. αἱ δὲ ἀδελ- 5

1. *αὐτοχθόνων* Rᵃ*B* *αὐτόχθων* *C*, corr. *He.* *ἐπὶ* A, nescio quo casu om. *Hr.* (conf. *Hr.* Herm. XI p. 234) 2. *ἐκ Λακεδαίμονος* del. *He.* 3. *μήνυτος* A, corr. *Br.* *κραναὴν* A 7. *αὐτόχθονα* Rᵃ: *αὐτόχθονος* A 8. *ἔτη* L: *ἐπὶ* A 9. *ἡφαίστης τῆς κραναῆς* (*κραναοῦ* Rᵃ) A, corr. *Fab.* 12. *ἐγκαταλελειμμένος* E: *ἐγκαταλελεγμένος* A 18. *μισαχθεῖσα* A 19. *φευγούσης — πεσούσης* del. *Hr.*, sed conf. inscript. tab. Borg. CIG. III 6129 (Jahn, Griech. Bilderchron. tab. K 2) *καὶ* EA: *ἐκ* substit. *Wellmannus*, De Istro Callimacheo p. 48, sed conf. Comm. Ribb. p. 148 s. 22. *παρεκάθετο* *C*

φαὶ τῆς Πανδρόσου ἀνοίγουσιν ὑπὸ περιεργίας, καὶ
θεῶνται τῷ βρέφει παρεσπειραμένον δράκοντα· καὶ
ὡς μὲν ἔνιοι λέγουσιν, ὑπ᾿ αὐτοῦ διεφθάρησαν τοῦ
δράκοντος, ὡς δὲ ἔνιοι, δι᾿ ὀργὴν Ἀθηνᾶς ἐμμανεῖς γε-
6 νόμεναι κατὰ τῆς ἀκροπόλεως αὑτὰς ἔρριψαν. ἐν δὲ τῷ 190
τεμένει τραφεὶς Ἐριχθόνιος ὑπ᾿ αὐτῆς Ἀθηνᾶς, ἐκβα-
λὼν Ἀμφικτύονα ἐβασίλευσεν Ἀθηνῶν, καὶ τὸ ἐν ἀκρο-
πόλει ξόανον τῆς Ἀθηνᾶς ἱδρύσατο, καὶ τῶν Παναθη-
ναίων τὴν ἑορτὴν συνεστήσατο, καὶ Πραξιθέαν νηίδα
νύμφην ἔγημεν, ἐξ ἧς αὐτῷ παῖς Πανδίων ἐγεννήθη.
7 Ἐριχθονίου δὲ ἀποθανόντος καὶ ταφέντος ἐν τῷ αὐτῷ 191
τεμένει τῆς Ἀθηνᾶς Πανδίων ἐβασίλευσεν, ἐφ᾿ οὗ Δη-
μήτηρ καὶ Διόνυσος εἰς τὴν Ἀττικὴν ἦλθον. ἀλλὰ Δή-
μητρα μὲν Κελεὸς εἰς τὴν Ἐλευσῖνα ὑπεδέξατο, Διόνυ-
σον δὲ Ἰκάριος· ὃς λαμβάνει παρ᾿ αὐτοῦ κλῆμα ἀμπέλου
2 καὶ τὰ περὶ τὴν οἰνοποιίαν μανθάνει. καὶ τὰς τοῦ θεοῦ 192
δωρήσασθαι θέλων χάριτας ἀνθρώποις, ἀφικνεῖται πρός
τινας ποιμένας, οἳ γευσάμενοι τοῦ ποτοῦ καὶ χωρὶς ὕδα-
τος δι᾿ ἡδονὴν ἀφειδῶς ἑλκύσαντες, πεφαρμάχθαι νομί-
3 ζοντες ἀπέκτειναν αὐτόν. μεθ᾿ ἡμέραν δὲ νοήσαντες
ἔθαψαν αὐτόν. Ἠριγόνῃ δὲ τῇ θυγατρὶ τὸν πατέρα
μαστευούσῃ κύων συνήθης ὄνομα Μαῖρα, ἣ τῷ Ἰκαρίῳ
συνείπετο, τὸν νεκρὸν ἐμήνυσε· κἀκείνη κατοδυρομένη
τὸν πατέρα ἑαυτὴν ἀνήρτησε.
8 Πανδίων δὲ γήμας Ζευξίππην τῆς μητρὸς τὴν ἀδελ- 193
φὴν θυγατέρας μὲν ἐτέκνωσε Πρόκνην καὶ Φιλομήλαν,

9. πρασιθέαν A, corr. *He.*; Πασιθέαν *Aeg.* (Φρασιθέα Tzetz. Chil. I 174 V 671, Πραξιθέα I 177 V 674) 10. αὐτῆς A, corr. *Gal.* 11. τῷ αὐτῷ * *Scaliger*: τῷ ᾶ R[a] τῷ ᾱ τῷ A 12. ἐφ᾿ E: ἀφ᾿ A 14. εἰς τὴν Ἐλευσῖνα del. *He.* 15 s. ὃς . . . μανθάνει *E: καὶ . . . μανθάνων A (conf. Epit. Vat. p. 107) 20. νοήσαντες A: νήψαντες *Valckenarius* 23. κατοδυραμένη *Hr.*

*παῖδας δὲ διδύμους Ἐρεχθέα καὶ Βούτην. πολέμου δὲ
ἐξαναστάντος πρὸς Λάβδακον περὶ γῆς ὅρων ἐπεκαλέ-
σατο βοηθὸν ἐκ Θρᾴκης Τηρέα τὸν Ἄρεος, καὶ τὸν πό-
λεμον σὺν αὐτῷ κατορθώσας ἔδωκε Τηρεῖ πρὸς γάμον*
194 *τὴν ἑαυτοῦ θυγατέρα Πρόκνην. ὁ δὲ ἐκ ταύτης γεννή-* 2
*σας παῖδα Ἴτυν, καὶ Φιλομήλας ἐρασθεὶς ἔφθειρε καὶ
ταύτην, εἰπὼν τεθνάναι Πρόκνην, κρύπτων ἐπὶ τῶν χω-
ρίων. αὖθις δὲ γήμας Φιλομήλαν συνηυνάζετο, καὶ τὴν
γλῶσσαν ἐξέτεμεν αὐτῆς. ἡ δὲ ὑφήνασα ἐν πέπλῳ γράμ-* 3
ματα διὰ τούτων ἐμήνυσε Πρόκνῃ τὰς ἰδίας συμφο-
195 *ράς. ἡ δὲ ἀναζητήσασα τὴν ἀδελφὴν κτείνει τὸν παῖδα
Ἴτυν, καὶ καθεψήσασα Τηρεῖ δεῖπνον ἀγνοοῦντι παρα-
τίθησι· καὶ μετὰ τῆς ἀδελφῆς διὰ τάχους ἔφυγε. Τη-* 4
*ρεὺς δὲ αἰσθόμενος, ἁρπάσας πέλεκυν ἐδίωκεν. αἱ δὲ
ἐν Δαυλίᾳ τῆς Φωκίδος γινόμεναι περικατάληπτοι θεοῖς
εὔχονται ἀπορνεωθῆναι, καὶ Πρόκνη μὲν γίνεται ἀηδών,
Φιλομήλα δὲ χελιδών· ἀπορνεοῦται δὲ καὶ Τηρεύς, καὶ
γίνεται ἔποψ.*

196 *Πανδίονος δὲ ἀποθανόντος οἱ παῖδες τὰ πατρῷα* **15**
*ἐμερίσαντο, καὶ τὴν ⟨μὲν⟩ βασιλείαν Ἐρεχθεὺς λαμ-
βάνει, τὴν δὲ ἱερωσύνην τῆς Ἀθηνᾶς καὶ τοῦ Ποσει-
δῶνος τοῦ Ἐρεχθέως Βούτης. γήμας δὲ Ἐρεχθεὺς* 2
*Πραξιθέαν τὴν Φρασίμου καὶ Διογενείας τῆς Κηφισοῦ,
ἔσχε παῖδας Κέκροπα Πάνδωρον Μητίονα, θυγατέρας*

2. *ἐξαναστάντος* A: *ἐνστάντος* E (conf. III 203: *πολέμου ἐνστάντος πρὸς Ἀθηναίους*) *λάβδακον* E: *λαύδακον* A
7 s. *εἰπὼν — Πρόκνην* et *αὖθις — συνηυνάζετο* del. *Hr.*
9. *γράμματα* E Zenob. III 14: *γράμματα καὶ* A 10. *πρόκνῃ* E Zenob.: *πρόκνην* A 12. *παρατίθησι* Zenob. *Fab.*: *προτίθησι* E A 13. *διὰ τάχους* *E: *διαταχέως* A *ἔφυγε* E A: *ἔφευγε* *Hr.* 13 s. *αἰσθόμενος δὲ Τηρεὺς* E 19. *πανδίωνος* A
20. *μὲν* add. *Br.* 22. *Ἐρεχθέως* *He.*: *ἐριχθονίου* A
23. *κυφίσου* *BC* 24. *παῖδας*] *μὲν* add. *Hr.* *θυγατέρα* *BC*

δὲ Πρόκριν Κρέουσαν Χθονίαν Ὠρείθυιαν, ἣν ἥρπασε
Βορέας.
3 Χθονίαν μὲν οὖν ἔγημε Βούτης, Κρέουσαν δὲ Ξοῦ- 197
θος, Πρόκριν δὲ Κέφαλος ⟨ὁ⟩ Δηιόνος. ἡ δὲ λαβοῦσα
χρυσοῦν στέφανον Πτελέοντι συνευνάζεται, καὶ φωρα-
4 θεῖσα ὑπὸ Κεφάλου πρὸς Μίνωα φεύγει. ὁ δὲ αὐτῆς
ἐρᾷ καὶ πείθει συνελθεῖν. εἰ δὲ συνέλθοι γυνὴ Μίνωι,
ἀδύνατον ἦν αὐτὴν σωθῆναι· Πασιφάη γάρ, ἐπειδὴ πολ-
λαῖς Μίνως συνηυνάζετο γυναιξίν, ἐφαρμάκευσεν αὐ-
τόν, καὶ ὁπότε ἄλλῃ συνηυνάζετο, εἰς τὰ ἄρθρα ἐφίει
5 θηρία, καὶ οὕτως ἀπώλλυντο. ἔχοντος οὖν αὐτοῦ κύνα 198
ταχὺν ⟨καὶ⟩ ἀκόντιον ἰθυβόλον, ἐπὶ τούτοις Πρόκρις,
δοῦσα τὴν Κιρκαίαν πιεῖν ῥίζαν πρὸς τὸ μηδὲν βλάψαι,
συνευνάζεται. δείσασα δὲ αὖθις τὴν Μίνωος γυναῖκα
6 ἧκεν εἰς Ἀθήνας, καὶ διαλλαγεῖσα Κεφάλῳ μετὰ τούτου
παραγίνεται ἐπὶ θήραν· ἦν γὰρ θηρευτική. διωκούσης
δὲ αὐτῆς ἐν τῇ λόχμῃ ἀγνοήσας Κέφαλος ἀκοντίζει, καὶ
τυχὼν ἀποκτείνει Πρόκριν. καὶ κριθεὶς ἐν Ἀρείῳ πάγῳ
φυγὴν ἀίδιον καταδικάζεται.
2 Ὠρείθυιαν δὲ παίζουσαν ἐπὶ Ἰλισσοῦ ποταμοῦ ἀρ- 199
πάσας Βορέας συνῆλθεν· ἡ δὲ γεννᾷ θυγατέρας μὲν
Κλεοπάτραν καὶ Χιόνην, υἱοὺς δὲ Ζήτην καὶ Κάλαϊν
πτερωτούς, οἳ πλέοντες σὺν Ἰάσονι καὶ τὰς ἁρπυίας
διώκοντες ἀπέθανον, ὡς δὲ Ἀκουσίλαος λέγει, περὶ

1 s. ἣν ἥρπασε Βορέας del. *Hr*. 4. ὁ add. *Aeg*. 7. δὲ *A: δέ γε edd. recc. συνέλθει R[a] συνέλθειε A, corr. *Fab*. 9. συνευνάζετο VL, συνευνάζοιτο *Hr*. 10. ἀφίει *He*. 12. καὶ add. *Hr*. 13. ἰδοῦσα A, corr. *He*. 17. δὲ *Aeg*.: γὰρ A λόγχμῃ O: λόγχῃ A 20. παίζουσαν *Staverenus* (conf. Plat. Phaedr. 229 c, Paus. I 19, 5, schol. Apoll. Rhod. I 211 fin.): περῶσαν A ἰλισσοῦ R[a]: ἰλισοῦ A 23. καὶ del. *Hr*. 24. Acusil. frg. 24

200 *Τῆνον ὑφ' Ἡρακλέους ἀπώλοντο. Κλεοπάτραν δὲ ἔγημε* 3
Φινεύς, ᾧ γίνονται παῖδες ⟨ἓξ⟩ αὐτῆς Πλήξιππος καὶ
Πανδίων. ἔχων δὲ τούτους ἐκ Κλεοπάτρας παῖδας Ἰδαίαν
ἐγάμει τὴν Δαρδάνου. κἀκείνη τῶν προγόνων πρὸς
Φινέα φθορὰν καταψεύδεται, καὶ πιστεύσας Φινεὺς ἀμ-
φοτέρους τυφλοῖ. παραπλέοντες δὲ οἱ Ἀργοναῦται σὺν
Βορέᾳ κολάζονται αὐτόν.
201 *Χιόνη δὲ Ποσειδῶνι μίγνυται. ἡ δὲ κρύφα τοῦ* 4
πατρὸς Εὔμολπον τεκοῦσα, ἵνα μὴ γένηται καταφανής,
εἰς τὸν βυθὸν ῥίπτει τὸ παιδίον. Ποσειδῶν δὲ ἀνελό-
μενος εἰς Αἰθιοπίαν κομίζει καὶ δίδωσι Βενθεσικύμῃ
τρέφειν, αὐτοῦ θυγατρὶ καὶ Ἀμφιτρίτης. ὡς δὲ ἐτε- 2
λειώθη, ὁ Βενθεσικύμης ἀνὴρ τὴν ἑτέραν αὐτῷ τῶν
202 *θυγατέρων δίδωσιν. ὁ δὲ καὶ τὴν ἀδελφὴν τῆς γαμη-*
θείσης ἐπεχείρησε βιάζεσθαι, καὶ διὰ τοῦτο φυγαδευθεὶς
μετὰ Ἰσμάρου τοῦ παιδὸς πρὸς Τεγύριον ἧκε, Θρᾳκῶν
βασιλέα, ὃς αὐτοῦ τῷ παιδὶ τὴν θυγατέρα συνῴκισεν.
ἐπιβουλεύων δὲ ὕστερον Τεγυρίῳ καταφανὴς γίνεται, 3
καὶ πρὸς Ἐλευσινίους φεύγει καὶ φιλίαν ποιεῖται πρὸς
αὐτούς. αὖθις δὲ Ἰσμάρου τελευτήσαντος μεταπεμφθεὶς
ὑπὸ Τεγυρίου παραγίνεται, καὶ τὴν πρὸ τοῦ μάχην
203 *διαλυσάμενος τὴν βασιλείαν παρέλαβε. καὶ πολέμου* 4

1—6. aliis versionibus additis enarrat **schol. Laur. Soph. Antig. 980** (*ταῦτα δὲ ἱστορεῖ Ἀπολλόδωρος ἐν τῇ Βιβλιοθήκῃ*) 2. *ἓξ* add. *He.* *αὐτ͂* R[a]: *αὐτοῦ* A 4. *ἐγάμει*] *ἐπέγημε* schol. Soph., *γαμεῖ Hr.* 6 s. *Ἀργοναῦται σὺν Βορέᾳ*] conf. adn. I 120) 7. *κολάζουσιν Br.* 8. *Χιόνη δὲ Ποσειδῶν Hr.* 9. *εὐμόλπου C* 13. *βενθεσικύμης* *R[a]: *ἔνδον ἐν βενθεσικύμης* B *ἔνδον ὁ βενθεσικύμης C*; *Ἔνδιος ὁ Βενθ. Br.*, *Ἔναλος ὁ Βενθ. Hr.* (mariti nomen non additum fuisse certum est, si O cum R[a] consentit; sed nescio, num res sic se habeat) *αὐτ͂* R[a]: *αὐτοῦ* A 16. *τενύριον* O R[a] (sed infra 21. *τεγυρίου* R[a]) 17. *συνῴκισεν* R[a]: *συνῴκησεν* A 18. *τενυρίῳ* R[a]

ἐνστάντος πρὸς Ἀθηναίους τοῖς Ἐλευσινίοις, ἐπικληθεὶς
ὑπὸ Ἐλευσινίων μετὰ πολλῆς συνεμάχει Θρᾳκῶν δυ-
νάμεως. Ἐρεχθεῖ δὲ ὑπὲρ Ἀθηναίων νίκης χρωμένῳ
ἔχρησεν ὁ θεὸς κατορθώσειν τὸν πόλεμον, ἐὰν μίαν
τῶν θυγατέρων σφάξῃ. καὶ σφάξαντος αὐτοῦ τὴν
νεωτάτην καὶ αἱ λοιπαὶ ἑαυτὰς κατέσφαξαν· ἐπεποίηντο
γάρ, ὡς ἔφασάν τινες, συνωμοσίαν ἀλλήλαις συναπο-
λέσθαι. γενομένης δὲ μετὰ ⟨τὴν⟩ σφαγὴν τῆς μάχης 204
5 Ἐρεχθεὺς μὲν ἀνεῖλεν Εὔμολπον, Ποσειδῶνος δὲ καὶ
τὸν Ἐρεχθέα καὶ τὴν οἰκίαν αὐτοῦ καταλύσαντος, Κέ-
κροψ ὁ πρεσβύτατος τῶν Ἐρεχθέως παίδων ἐβασίλευσεν,
ὃς γήμας Μητιάδουσαν τὴν Εὐπαλάμου παῖδα ἐτέκνωσε
2 Πανδίονα. οὗτος μετὰ Κέκροπα βασιλεύων ὑπὸ τῶν 205
Μητίονος υἱῶν κατὰ στάσιν ἐξεβλήθη, καὶ παραγενόμε-
νος εἰς Μέγαρα πρὸς Πύλαν τὴν ἐκείνου θυγατέρα
3 Πυλίαν γαμεῖ. αὖθις ⟨δὲ⟩ καὶ τῆς πόλεως βασιλεὺς
ὑπ' αὐτῆς καθίσταται· κτείνας γὰρ Πύλας τὸν τοῦ πα-
τρὸς ἀδελφὸν Βίαντα τὴν βασιλείαν δίδωσι Πανδίονι,
αὐτὸς δὲ εἰς Πελοπόννησον σὺν λαῷ παραγενόμενος
κτίζει πόλιν Πύλον.

4 Πανδίονι δὲ ἐν Μεγάροις ὄντι παῖδες ἐγένοντο 206
Αἰγεὺς Πάλλας Νῖσος Λύκος. ἔνιοι δὲ Αἰγέα Σκυρίου
6 εἶναι λέγουσιν, ὑποβληθῆναι δὲ ὑπὸ Πανδίονος. μετὰ
δὲ τὴν Πανδίονος τελευτὴν οἱ παῖδες αὐτοῦ στρατεύ-
σαντες ἐπ' Ἀθήνας ἐξέβαλον τοὺς Μητιονίδας καὶ τὴν
ἀρχὴν τετραχῇ διεῖλον· εἶχε δὲ τὸ πᾶν κράτος Αἰγεύς.

1. ἀθηναίους καὶ ἐλευσινίους A, corr. *He.* 3. ὑπὲρ A: περὶ *Hr.* 8. τὴν add. *Br.* 9. καὶ ante τὸν del. *He.* 12. μιτιάδουσαν *B* 13. κέκροπος A, corr. *He.* 14. μετίωνος A 16. πελίαν A, corr. *Fab.* δὲ add. *He.* 17. ὑπ' αὐτῆς A, aut delendum aut ὑπ' αὐτοῦ scribendum censet *He.* 22. νίσος E: νίσης A

207 *γαμεῖ δὲ πρώτην μὲν Μήταν τὴν Ὁπλῆτος, δευτέραν*
δὲ Χαλκιόπην τὴν Ῥηξήνορος. ὡς δὲ οὐκ ἐγένετο παῖς 2
αὐτῷ, δεδοικὼς τοὺς ἀδελφοὺς εἰς Πυθίαν ἦλθε καὶ
περὶ παίδων γονῆς ἐμαντεύετο. ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ·

ἀσκοῦ τὸν προὔχοντα ποδάονα, φέρτατε λαῶν,
μὴ λύσῃς, πρὶν ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι.

208 *ἀπορῶν δὲ τὸν χρησμὸν ἀνῄει πάλιν εἰς Ἀθήνας. καὶ* 7
Τροιζῆνα διοδεύων ἐπιξενοῦται Πιτθεῖ τῷ Πέλοπος, ὃς
τὸν χρησμὸν συνείς, μεθύσας αὐτὸν τῇ θυγατρὶ συγκατ-
έκλινεν Αἴθρᾳ. τῇ δὲ αὐτῇ νυκτὶ καὶ Ποσειδῶν ἐπλη-
σίασεν αὐτῇ. Αἰγεὺς δὲ ἐντειλάμενος Αἴθρᾳ, ἐὰν ἄρ- 2
ρενα γεννήσῃ, τρέφειν, τίνος ἐστὶ μὴ λέγουσαν, ἀπέλι-
πεν ὑπό τινα πέτραν μάχαιραν καὶ πέδιλα, εἰπών, ὅταν
ὁ παῖς δύνηται τὴν πέτραν ἀποκυλίσας ἀνελέσθαι
ταῦτα, τότε μετ' αὐτῶν αὐτὸν ἀποπέμπειν.

209 *αὐτὸς δὲ ἧκεν εἰς Ἀθήνας, καὶ τὸν τῶν Παναθη-* 3
ναίων ἀγῶνα ἐπετέλει, ἐν ᾧ ὁ Μίνωος παῖς Ἀνδρό-
γεως ἐνίκησε πάντας. τοῦτον Αἰγεὺς ἐπὶ τὸν Μαρα-
θώνιον ἔπεμψε ταῦρον, ὑφ' οὗ διεφθάρη. ἔνιοι δὲ
αὐτὸν λέγουσι πορευόμενον εἰς Θήβας ἐπὶ τὸν Λαΐου
ἀγῶνα πρὸς τῶν ἀγωνιστῶν ἐνεδρευθέντα διὰ φθόνον
210 *ἀπολέσθαι. Μίνως δέ, ἀγγελθέντος αὐτῷ τοῦ θανάτου,* 4
θύων ἐν Πάρῳ ταῖς χάρισι, τὸν μὲν στέφανον ἀπὸ

1. *πρῶτον* A S p. 182, 26, corr. *Hr.* *μήταν* A (*μηταντὴν* S pro *μήταν τὴν*): *Μελίταν* schol. Eurip. Med. 673 *Aeg.* *Wilamowitzius* Herm. XV p. 523 5. *ποδάονα* *ES Tzetz. Lycophr. 494, schol. Eurip. Med. 679: *πόδα μέγα* A Plut. Thes. 3, 8 (conf. Epit. Vat. p. 107 s.) 7. *δὲ* om. *B* 12. *τίνος ἐστὶ μὴ λέγουσαν* *ES: *καὶ τίνος ἔσται μὴ λέγειν* A (conf. Mus. Rhen. XLVI p. 391) 13. *τινα πέτραν* *ESA: *τινι πέτρᾳ* edd. *εἰπὼν* ESA: *ἐπειπὼν* *Hr.* 17 ss. conf. **schol. Plat. Min. 321 a**
18. *αἰγεὺς* S: *ὁ ζεὺς* A 20. *Θήβας* *Meursius* (conf. Diod. IV 60, 5): *ἀθήνας* A 22. *ἀγγελθέντος* *Wyttenbachius*: *ἐπελθόντος* A *αὐτοῦ* A, corr. *He.* *τοῦ* add. R[a]

τῆς κεφαλῆς ἔρριψε καὶ τὸν αὐλὸν κατέσχε, τὴν δὲ
θυσίαν οὐδὲν ἧττον ἐπετέλεσεν· ὅθεν ἔτι καὶ δεῦρο
χωρὶς αὐλῶν καὶ στεφάνων ἐν Πάρῳ θύουσι ταῖς χάρισι.
8 μετ' οὐ πολὺ δὲ θαλασσοκρατῶν ἐπολέμησε στόλῳ τὰς
Ἀθήνας, καὶ Μέγαρα εἷλε Νίσου βασιλεύοντος τοῦ Παν-
δίονος, καὶ Μεγαρέα τὸν Ἱππομένους ἐξ Ὀγχηστοῦ Νίσῳ
βοηθὸν ἐλθόντα ἀπέκτεινεν. ἀπέθανε δὲ καὶ Νῖσος διὰ
2 θυγατρὸς προδοσίαν. ἔχοντι γὰρ αὐτῷ πορφυρέαν ἐν 211
μέσῃ τῇ κεφαλῇ τρίχα ταύτης ἀφαιρεθείσης ἦν χρησμὸς
τελευτῆσαι· ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα ἐρασθεῖσα
Μίνωος ἐξεῖλε τὴν τρίχα. Μίνως δὲ Μεγάρων κρα-
τήσας καὶ τὴν κόρην τῆς πρύμνης τῶν ποδῶν ἐκδήσας
ὑποβρύχιον ἐποίησε.

3 χρονιζομένου δὲ τοῦ πολέμου, μὴ δυνάμενος ἑλεῖν 212
Ἀθήνας εὔχεται Διὶ παρ' Ἀθηναίων λαβεῖν δίκας. γε-
νομένου δὲ τῇ πόλει λιμοῦ τε καὶ λοιμοῦ, τὸ μὲν πρῶ-
τον κατὰ λόγιον Ἀθηναῖοι παλαιὸν τὰς Ὑακίνθου κόρας,
Ἀνθηίδα Αἰγληίδα Λυταίαν Ὀρθαίαν, ἐπὶ τὸν Γεραί-
4 στου τοῦ Κύκλωπος τάφον κατέσφαξαν· τούτων δὲ ὁ
πατὴρ Ὑάκινθος ἐλθὼν ἐκ Λακεδαίμονος Ἀθήνας κατῴ-
κει. ὡς δὲ οὐδὲν ὄφελος ἦν τοῦτο, ἐχρῶντο περὶ ἀπαλ- 213
λαγῆς. ὁ δὲ θεὸς ἀνεῖλεν αὐτοῖς Μίνωι διδόναι δίκας
5 ἃς ἂν αὐτὸς αἱροῖτο. πέμψαντες οὖν πρὸς Μίνωα ἐπ-

1. τὴν δὲ *He.*: καὶ τὴν A 5. τοῦ E R[a]: τῶν A
6. ἐξοχετοῦ R[a] ἐξ ὀχετοῦ A, corr. *Aeg.* 7. καὶ del. *Hr.*
9. ἦν χρησμὸς * add. E 10. τελευτῆσαι *E: τελευτᾷ A, τε-
λευτᾶν *Hr.* 11. μίνως E: μόνον A 12. τῶν ποδῶν E S,
del. *Hr.* ἐκδύσας *B* 17. ἀθηναίοις A, corr. *Aeg.*
18. *Αἰγληίδα Aeg.*: ἀγλυίδα R[a] ἀγλυηίδα A post hanc vocem
Ἠνθηνίδα add. A, del. *Gal.* λυταίαν A: *Λουσίαν Meursius*
(conf. Steph. Byz. s. *Λουσιά*) γερέστου A γεράστου V, corr.
Aeg. 21. τούτον *Br.* 22. ἀπεῖπεν A ἀνεῖπεν **schol. Plat.
Min. 321 a**, corr. *Fab.* 23. αἱροῖτο *E: αἱρεῖται A, αἱρῆται
schol. Plat. *Clavierius*

ἔτρεπον αἰτεῖν δίκας. Μίνως δὲ ἐκέλευσεν αὐτοῖς κό-
ρους ἑπτὰ καὶ κόρας τὰς ἴσας χωρὶς ὅπλων πέμπειν τῷ
Μινωταύρῳ βοράν. ἦν δὲ οὗτος ἐν λαβυρίνθῳ καθ- 6
ειργμένος, ἐν ᾧ τὸν εἰσελθόντα ἀδύνατον ἦν ἐξιέναι·
πολυπλόκοις γὰρ καμπαῖς τὴν ἀγνοουμένην ἔξοδον ἀπ-
214 *έκλειε. κατεσκευάκει δὲ αὐτὸν Δαίδαλος ὁ Εὐπαλάμου*
παῖς τοῦ Μητίονος καὶ Ἀλκίππης. ἦν γὰρ ἀρχιτέκτων
ἄριστος καὶ πρῶτος ἀγαλμάτων εὑρετής. οὗτος ἐξ Ἀθη- 9
νῶν ἔφυγεν, ἀπὸ τῆς ἀκροπόλεως βαλὼν τὸν τῆς ἀδελ-
φῆς [Πέρδικος] υἱὸν Τάλω, μαθητὴν ὄντα, δείσας μὴ
διὰ τὴν εὐφυΐαν αὐτὸν ὑπερβάλῃ· σιαγόνα γὰρ ὄφεως
215 *εὑρὼν ξύλον λεπτὸν ἔπρισε. φωραθέντος δὲ τοῦ νεκροῦ* 2
κριθεὶς ἐν Ἀρείῳ πάγῳ καὶ καταδικασθεὶς πρὸς Μίνωα
ἔφυγε. [κἀκεῖ Πασιφάης ἐρασθείσης τοῦ Ποσειδῶνος
ταύρου συνήργησε τεχνησάμενος ξυλίνην βοῦν, καὶ τὸν
λαβύρινθον κατεσκεύασεν, εἰς ὃν κατὰ ἔτος Ἀθηναῖοι
κόρους ἑπτὰ καὶ κόρας τὰς ἴσας τῷ Μινωταύρῳ βορὰν
ἔπεμπον.]

216 *Θησεὺς δὲ γεννηθεὶς ἐξ Αἴθρας Αἰγεῖ παῖς, ὡς* **16**
ἐγένετο τέλειος, ἀπωσάμενος τὴν πέτραν τὰ πέδιλα καὶ
τὴν μάχαιραν ἀναιρεῖται, καὶ πεζὸς ἠπείγετο εἰς τὰς

1 s. *αὐτοῖς*] *ιδ´* add. A (*τεσσαρακαιδεκαέτεις* E, *δεκέτεις* schol. Plat.), del. *Gal.* *κόρους* *E schol. Plat.: *κούρους* A 3. *ἐν* ⟨*τῷ*⟩ *Hr.* 3 ss. *καθειργμένος, ὃν κατεσκευάκει Δαίδαλος*, reliquis verbis deletis, *Hr.* (conf. III 11) 7. *μητίονος* P: *μητίωνος* Rᵃ *μιτίονος* Rᵇᶜ*C* *ἦν γὰρ* *E: *οὗτος ἦν* SA (*οὗτος ἦν — εὑρετής* del. *Hr.*) 10. *περδίκας* E Tzetz. Chil. I 493: *πέρδικος* A, del. *He.* *Τάλω* Diod. IV 76, 4 *Aeg.*: *ἀτάλω* SA *ἀττάλω* Tzetz. *ἀτάλην* E 13. *καὶ* * add. E 14 ss. *κἀκεῖ — ἔπεμπον* ESA, recte del. *He.* *Πασιφάης ἐρασθείσης* SA: *Πασιφάῃ ἐρασθείσῃ* E 15. *συνήργησε* E *συνήρτησε* S: *συνήρπασε* A 17. *κόρους* *ES: *κούρους* A 20. *ἐγένετο* E: *ἐγεννήθη* SA

Ἀθήνας. φρουρουμένην δὲ ὑπὸ ἀνδρῶν κακούργων τὴν
2 *ὁδὸν ἡμέρωσε. πρῶτον μὲν γὰρ Περιφήτην τὸν Ἡφαί-* 217
στου καὶ Ἀντικλείας, ὃς ἀπὸ τῆς κορύνης ἣν ἐφόρει κο-
ρυνήτης ἐπεκαλεῖτο, ἔκτεινεν ἐν Ἐπιδαύρῳ. πόδας δὲ
ἀσθενεῖς ἔχων οὗτος ἐφόρει κορύνην σιδηρᾶν, δι' ἧς
τοὺς παριόντας ἔκτεινε. ταύτην ἀφελόμενος Θησεὺς
2 *ἐφόρει. δεύτερον δὲ κτείνει Σίνιν τὸν Πολυπήμονος* 218
καὶ Συλέας τῆς Κορίνθου. οὗτος πιτυοκάμπτης ἐπε-
καλεῖτο· οἰκῶν γὰρ τὸν Κορινθίων ἰσθμὸν ἠνάγκαζε
2 *τοὺς παριόντας πίτυς κάμπτοντας ἀνέχεσθαι· οἱ δὲ διὰ*
τὴν ἀσθένειαν οὐκ ἠδύναντο κάμπτειν, καὶ ὑπὸ τῶν δέν-
δρων ἀναρριπτούμενοι πανωλέθρως ἀπώλλυντο. τούτῳ
τῷ τρόπῳ καὶ Θησεὺς Σίνιν ἀπέκτεινεν.

1 s. *φρουρουμένην . . . τὴν ὁδὸν* *E: *φρουρουμένης . . . τῆς ὁδοῦ* A 2. *γὰρ* *EA: *οὖν* edd. recc. 3 s. *ὃς — ἐπεκαλεῖτο* del. *He.* 4. *ἐπιδαύρῳ* E: *ἐπιδώρῳ* A 5. *ἀσθενεῖς* A: *βριαροὺς* S, quod minus recte commendat *Wulffius* (Zur Theseussage 1892 p. 144), conf. Mus. Rhen. XLVI p. 392 *σιδηρᾶν*] *ἣν ἀπὸ τὸν Ἡφαίστου Περιφήτην ἔλαβεν* add. S (conf. ibid. p. 383) 7. *δὲ* om. E, sed conf. II 77: *δεύτερον δὲ ἆθλον ἐπέταξεν* 7. 13. *σίνην* ER[a] *σίννιν B σίννην C* 8. *πιτυοκάμπτης* ER[a]: *πιτυοκάμπης* A 11. *κάμπτειν* del. *Hr.* 12. *ἀναρριπτούμενοι* EA: *ἀναρριπτόμενοι Hr.* 12 s. *τούτῳ τῷ τρόπῳ* EA: *τοῦτον τὸν τρόπον Hr.* (Philol. IV p. 571), sed conf. Plut. Thes. 8, 3, Paus. II 1 4, (Epit. Vat. p. 108) 13. *καὶ* * add. E Paus. ibid.

APOLLODORI BIBLIOTHECAE

EPITOMA

EX

EPITOMA VATICANA

ET

FRAGMENTIS SABBAITICIS

COMPOSITA.

E epitoma Vaticana: Vaticanus 950

Wagner, Epitoma Vaticana ex Apollodori bibliotheca Accedunt curae mythographae de Apollodori fontibus. (Lipsiae 1891) p. 54—76 (cap. I—XXIII). — Confer praeterea: Ein Excerpt aus Apollodors Bibliothek (Mus. Rhen. XLI 1886 p. 134—150). De Apollodori bibliothecae interpolationibus. (Commentationes Ribbeckianae p. 133—151). — *E. Bethe*, Proklos und der epische Cyclus (Herm. XXVI p. 593—633). *Wagner*, Proklos und Apollodoros (Fleckeis. ann. 1892 p. 241—256).

S fragmenta Sabbaitica: Sabbaiticus-Hierosolymitanus 366

A. Papadopulos-Kerameus, Apollodori bibliothecae fragmenta Sabbaitica (Mus. Rhen. XLVI 1891 p. 161—192). Confer praeterea: *H. Diels*, Apollodori fragmentorum Sabbaiticorum supplementum (ibid. p. 617 s.). *Wagner*, Die Sabbaitischen Apollodorfragmente (ibid. p. 378—419, 618 s.).

Epitoma Vaticana litteris obliquis (*Ζεύς*), fragmenta Sabbaitica typis erectis (Ζεύς) expressa sunt.

Ker. *Papadopulos-Kerameus*

Büch. *Bücheleri* curae criticae editioni fragmentorum Sabbaiticorum adiectae sunt.

* asterisco lectiones praeferendas insignivi.

(I.) *Τρίτην ἔκτεινεν ἐν Κρομμυῶνι σῦν τὴν κα-* 1
λουμένην Φαιὰν ἀπὸ τῆς θρεψάσης γραὸς αὐτήν· ταύ-
την τινὲς Ἐχίδνης καὶ Τυφῶνος λέγουσι. τέταρτον 2
ἔκτεινε Σκείρωνα τὸν Κορίνθιον τοῦ Πέλοπος, ὡς δὲ
ἔνιοι Ποσειδῶνος. οὗτος ἐν τῇ Μεγαρικῇ κατέχων τὰς
ἀφ' ἑαυτοῦ κληθείσας πέτρας Σκειρωνίδας, ἠνάγκαζε
τοὺς παριόντας νίζειν αὐτοῦ τοὺς πόδας, καὶ νίζοντας
εἰς τὸν βυθὸν αὐτοὺς ἔρριπτε βορὰν ὑπερμεγέθει χε-
λώνῃ. Θησεὺς δὲ ἁρπάσας αὐτὸν τῶν ποδῶν ἔρριψεν 3
⟨εἰς τὴν θάλασσαν⟩. πέμπτον ἔκτεινεν ἐν Ἐλευσῖνι
Κερκυόνα τὸν Βράγχου καὶ Ἀργιόπης νύμφης. οὗτος
ἠνάγκαζε τοὺς παριόντας παλαίειν καὶ παλαίων ἀνῄρει·
Θησεὺς δὲ αὐτὸν μετέωρον ἀράμενος ἤρραξεν εἰς γῆν.
ἕκτον ἀπέκτεινε Δαμάστην, ὃν ἔνιοι Πολυπήμονα λέ- 4
γουσιν. οὗτος τὴν οἴκησιν ἔχων παρ' ὁδὸν ἐστόρεσε
δύο κλίνας, μίαν μὲν μικράν, ἑτέραν δὲ μεγάλην, καὶ
τοὺς παριόντας ἐπὶ ξένια καλῶν τοὺς μὲν βραχεῖς ἐπὶ
τῆς μεγάλης κατακλίνων σφύραις ἔτυπτεν, ἵν' ἐξισω-

1. *κρομμυοῦντι* E 2. *ὑπὸ* E, correxi Comm. Ribb. p. 144
4. *Σκείρωνα*] de nominis forma conf. Callim. frg. 378 Schn.
9. *ἔρριψε* E] *εἰς τὴν θάλασσαν* addidi ex schol. Eurip. Hipp. 979 ed. Dind., Paus. I 44, 8 10 ss. de Cercyone conf. **schol. Plat. legg. VII p. 796 a** 11. *βραγχον* E 13 s. *μετέωρον αὐτὸν ἀράμενος ἔρριψεν εἰς γῆν καὶ ἀπέκτεινεν* schol. Plat.
13. *ἤραξεν* *Herwerdenus* Mnemos. XX p. 197 14 ss. conf. schol. Eurip. Hipp. 977, ubi eadem de Sinide narrantur
17. *ξενίαν* E, correxi (conf. bibl. III 98. Steph. Thes. V 1643)
18. *ἐξισωθῇ* E, correxi

θῶσι ταῖς κλίναις, τοὺς δὲ μεγάλους ἐπὶ τῆς μικρᾶς, καὶ τὰ ὑπερέχοντα τοῦ σώματος ἀπέπριζε.

καθάρας οὖν Θησεὺς τὴν ὁδὸν ἧκεν εἰς Ἀθήνας.
5 *Μήδεια δὲ Αἰγεῖ τότε συνοικοῦσα ἐπεβούλευσεν αὐτῷ, καὶ πείθει τὸν Αἰγέα φυλάττεσθαι ὡς ἐπίβουλον αὐτοῦ. Αἰγεὺς δὲ τὸν ἴδιον ἀγνοῶν παῖδα, δείσας ἔπεμψεν ἐπὶ τὸν Μαραθώνιον ταῦρον.*
6 *ὡς δὲ ἀνεῖλεν αὐτόν, παρὰ Μηδείας λαβὼν αὐθημερινὸν προσήνεγκεν αὐτῷ φάρμακον. ὁ δὲ μέλλοντος αὐτῷ τοῦ ποτοῦ προσφέρεσθαι ἐδωρήσατο τῷ πατρὶ τὸ ξίφος, ὅπερ ἐπιγνοὺς Αἰγεὺς τὴν κύλικα ἐξέρριψε τῶν χειρῶν αὐτοῦ. Θησεὺς δὲ ανα-*

ἔκτεινε δὲ πάντας καὶ p. 183, 18 κατετροπώσατο τοὺς ἀντιπράττοντας ἥρωας καὶ πάντας τοὺς λῃστρικὸν μετιόντας βίον. Μήδεια Αἰγεῖ τότε συνοικοῦσα [Ἀθήναις] ἐπεβούλευσεν αὐτῷ, καὶ πείθει τὸν Αἰγέα φυλάττεσθαι ὡς ἐπίβουλον αὐτοῦ. Αἰγεὺς δὲ τὸν ἴδιον ἀγνοῶν παῖδα, δείσας [αὐτὸν ὡς βριαρὸν ὄντα] ἐπὶ τὸν Μαραθώνιον ἔπεμψε ταῦρον [ἀναλωθῆναι ὑπ' αὐτοῦ]. ὡς δ' ὁ Θησεὺς ἀνεῖλεν αὐτόν, παρὰ Μηδείας λαβὼν αὐθήμερον προσήνεγκεν αὐτῷ φάρμακον. ὁ δὲ μέλλοντος αὐτῷ τοῦ ποτοῦ προσφέρεσθαι ἐδωρήσατο τῷ πατρὶ τὸ ξίφος, ὅπερ Αἰγεὺς ἐπιγνοὺς τὴν κύλικα ἐξέρριψε τῶν χειρῶν αὐτοῦ. Θησεὺς δὲ ἀναγνωρισθεὶς τῷ πατρὶ καὶ

1. *ταῖς κλίναις*] exspectaveris *τῇ κλίνῃ*, sed conf. Plut. Thes. 11, 1: *ἀναγκάσας αὐτὸν ἀπισοῦν τοῖς κλιντῆρσι* 8 ss. uncis inclusa delevi Mus. Rhen. XLVI p. 383 s. 8. *Ἀθήναις*] nota structuram Latinam 11. *αὐτοῦ* ES: *αὐτὸν Büch.* 18. *αὐθημερινὸν* *E: *αὐθημερὸν* (sic) S

γνωρισθεὶς τῷ πατρὶ καὶ τὴν ἐπιβουλὴν μαθὼν ἐξέβαλε τὴν Μήδειαν.

καὶ εἰς τὸν τρίτον δασμὸν τῷ Μινωταύρῳ συγκαταλέγεται· ὡς δέ τινες λέγουσιν, ἑκὼν ἑαυτὸν ἔδωκεν. ἐχούσης δὲ τῆς νεὼς μέλαν ἱστίον Αἰγεὺς τῷ παιδὶ ἐνετείλατο, ἐὰν ὑποστρέφῃ ζῶν, λευκοῖς πετάσαι τὴν ναῦν ἱστίοις. ὡς δὲ ἧκεν εἰς Κρήτην, Ἀριάδνη θυγάτηρ Μίνωος ἐρωτικῶς διατεθεῖσα πρὸς αὐτὸν συμπεράσειν ἐπαγγέλλεται, ἐὰν ὁμολογήσῃ γυναῖκα αὐτὴν ἕξειν ἀπαγαγὼν εἰς Ἀθήνας.

ὁμολογήσαντος δὲ σὺν ὅρκοις Θησέως δεῖται Δαιδάλου μηνῦσαι τοῦ λαβυρίνθου τὴν ἔξοδον. ὑποθεμένου δὲ ἐκείνου, λίνον εἰσιόντι

τὴν ἐπιβουλὴν μαθὼν ἐξ-
έβαλε τὴν Μήδειαν.

καὶ εἰς τὸν τρίτον δασμὸν 7
τῷ Μινωταύρῳ συγκαταλέ-
γει βοράν.

ἐξέπλει δ' εἰς Κρήτην καὶ 8
ἧκεν. Ἀριάδνη γοῦν ἡ Μί-
νωος θυγάτηρ ἐρωτικῶς τῷ
Θησεῖ διατεθεῖσα συμπράσ-
σειν ἐπαγγέλλεται [πρὸς τὴν
Μινωταύρου εἰσέλευσιν λα-
βυρίνθου], ἐὰν ὁμολογήσῃ
γυναῖκα αὐτὴν ἕξειν ἀπα-
γαγὼν εἰς Ἀθήνας. ὁμολο-
γήσαντος δὲ σὺν ὅρκοις
Θησέως δεῖται Δαιδάλου
μηνῦσαι τοῦ λαβυρίνθου τὴν
ἔξοδον. ὑποθεμένου δὲ ἐκεί- 9
νου, λίνον εἰσιόντι Θησεῖ

5 s. *συγκαταλέγεται* *E: *συγκαταλέγει βορὰν* S; an excidit *αὐτὸν Μίνως*? conf. Plut. Thes. 17, 4 12. *καταπετάσαι*?
15. conf. schol. Hom. λ 322 (Pherecyd. frg. 106): *ἐρωτικῶς πρὸς αὐτὸν διατεθεῖσα* 16. *συμπράσσειν* *S: *συμπεράσειν* E
17 ss. *πρὸς — λαβυρίνθου* delenda sunt 24. *μηνύσαι* E
26. *λῖνον* E

Θησεῖ δίδωσι· τοῦτο ἐξάψας Θησεὺς τῆς θύρας ἐφελκόμενος εἰσῄει. καταλαβὼν δὲ Μινώταυρον ἐν ἐσχάτῳ μέρει τοῦ λαβυρίνθου παίων πυγμαῖς ἀπέκτεινεν, ἐφελκόμενος δὲ τὸ λίνον πάλιν ἐξῄει. καὶ διὰ νυκτὸς μετὰ Ἀριάδνης καὶ τῶν παίδων εἰς Νάξον ἀφικνεῖται. ἔνθα Διόνυσος ἐρασθεὶς Ἀριάδνης ἥρπασε, καὶ κομίσας εἰς Λῆμνον ἐμίγη.

10 *λυπούμενος δὲ Θησεὺς ἐπ' Ἀριάδνῃ καταπλέων ἐπελάθετο πετάσαι τὴν ναῦν λευκοῖς ἱστίοις. Αἰγεὺς δὲ ἀπὸ τῆς ἀκροπόλεως τὴν ναῦν ἰδὼν ἔχουσαν μέλαν ἱστίον, Θησέα νομίσας ἀπολωλέναι ῥίψας*
11 *ἑαυτὸν μετήλλαξε. Θησεὺς δὲ παρέλαβε τὴν Ἀθηναίων δυναστείαν.*

δίδωϲι· τοῦτο ἐξάψαϲ τῆϲ θύραϲ Θηϲεὺϲ ἐφελκόμενοϲ εἰϲῄει. καταλαβὼν δὲ Μινώ- p. 184
ταυρον ἐν ἐϲχάτῳ μέρει τοῦ λαβυρίνθου, παίων πυγμαῖϲ ἀπέκτεινεν αὐτόν. ἐφελκόμενοϲ δὲ τὸ λίνον πάλιν ἐξῄει καὶ διὰ νυκτὸϲ μετὰ Ἀριάδνηϲ καὶ τῶν παίδων εἰϲ Νάξον ἀφικνεῖται. ἔνθα Διόνυϲοϲ ἐραϲθεὶϲ Ἀριάδνηϲ ἥρπαϲε, καὶ κομίϲαϲ εἰϲ Λῆμνον ἐμίγη, καὶ γεννᾷ Θόαντα Ϲτάφυλον Οἰνοπίωνα καὶ Πεπάρηθον.

Θηϲεὺϲ παραλαβὼν τὴν Ἀθηναίων δυναϲτείαν τοὺϲ μὲν Πάλλαντοϲ παῖδαϲ πεντήκοντα τὸν ἀριθμὸν ἀπ-

6. *ἐφελκόμενος* ES: *προσελκόμενος* *Herwerdenus* Mnemos. XX p. 198 (*ἀνελίσσοντα τὴν ἀγαθίδα* schol. Hom.) 8. *λῖνον* E 10. *καὶ τῶν παίδων* in ras. E *νᾶξον* S 14. *οἰνωπίωνα* S, corr. *Ker.* 15. *πάρηθον* S, corr. *Büch.* 17. *καταπετάσαι?* 26. *πάλλαντας* S

ἔκτεινεν· ὁμοίως δὲ καὶ ὅσοι
ἀντᾶραι ἤθελον παρ' αὐτοῦ
ἀπεκτάνθησαν, καὶ τὴν ἀρ-
χὴν ἅπασαν ἔσχε μόνος.

(II.) Ὅτι Μίνως, αἰσθόμενος τοῦ φεύγειν τοὺς 12
μετὰ Θησέως, Δαίδαλον αἴτιον ἐν τῷ λαβυρίνθῳ μετὰ
τοῦ παιδὸς Ἰκάρου καθεῖρξεν, ὃς ἐγεγέννητο αὐτῷ ἐκ
δούλης Μίνωος Ναυκράτης. ὁ δὲ πτερὰ κατασκευάσας
ἑαυτῷ καὶ τῷ παιδὶ ἀναπτάντι ἐνετείλατο μήτε εἰς ὕψος
πέτεσθαι, μὴ τακείσης τῆς κόλλης ὑπὸ τοῦ ἡλίου αἱ
πτέρυγες λυθῶσι, μήτε ἐγγὺς θαλάσσης, ἵνα μὴ τὰ
πτερὰ ὑπὸ τῆς νοτίδος λυθῇ. Ἴκαρος δὲ ἀμελήσας τῶν 13
τοῦ πατρὸς ἐντολῶν ψυχαγωγούμενος ἀεὶ μετέωρος
ἐφέρετο· τακείσης δὲ τῆς κόλλης πεσὼν εἰς τὴν ἀπ'
ἐκείνου κληθεῖσαν Ἰκαρίαν θάλασσαν ἀπέθανε. ⟨Δαί-
δαλος δὲ διασώζεται εἰς Κάμικον τῆς Σικελίας.⟩ Δαί- 14

Zenob. IV 92: *Δαίδαλον γὰρ σὺν Ἰκάρῳ τῷ παιδὶ* 12
καθεῖρξε Μίνως ἐν τῷ λαβυρίνθῳ δι' ὅπερ εἰργάσατο
μύσος ἐπὶ τῷ τῆς Πασιφάης ἔρωτι τῷ πρὸς τὸν
ταῦρον. ὁ δὲ πτερὰ κατασκευάσας ἑαυτῷ καὶ τῷ παιδὶ
ἐξῆλθε τοῦ λαβυρίνθου καὶ ἀναπτάμενος ἔφυγε σὺν
Ἰκάρῳ. Ἰκάρου μὲν οὖν μετεωρότερον φερομένου καὶ 13
τῆς κόλλης ὑπὸ τοῦ ἡλίου τακείσης, αἱ πτέρυγες διελύ-
θησαν. καὶ οὗτος μὲν εἰς τὸ ἀπ' ἐκείνου κληθὲν
Ἰκάριον πέλαγος καταπίπτει, Δαίδαλος δὲ διασώζε-
ται. ὁ Μίνως οὖν ἐδίωκε Δαίδαλον καὶ καθ' ἑκάστην 14

5 ss. Zenobii narrationem, quam infra addidi, iam *Robertus* Apollodoro restituerat (de Apollod. bibl. p. 49) 7. *ἰκαρίου* E, correxi 8. *Ναυκράτης*] conf. **Tzetz. Chil.** I 498 12. *ἰκάριος* E 15. lacunam explevi ex Zenob. et Tzetz. v. 506: *ὁ Δαίδαλος δ' εἰς Κάμικον σώζεται Σικελίας.*

δαλον δὲ ἐδίωκε Μίνως, καὶ καθ' ἑκάστην χώραν ἐρευνῶν ἐκόμιζε κόχλον, καὶ πολὺν ἐπηγγέλλετο δώσειν μισθὸν τῷ διὰ τοῦ κοχλίου λίνον διείραντι, διὰ τούτου νομίζων εὑρήσειν Δαίδαλον. ἐλθὼν δὲ εἰς Κάμικον τῆς Σικελίας παρὰ Κώκαλον, παρ' ᾧ Δαίδαλος ἐκρύπτετο, δείκνυσι τὸν κοχλίαν. ὁ δὲ λαβὼν ἐπηγγέλλετο διείρειν καὶ Δαιδάλῳ δίδωσιν· ὁ δὲ ἐξάψας μύρμηκος λίνον καὶ τρήσας τὸν κοχλίαν εἴασε δι' αὐτοῦ διελθεῖν. λαβὼν δὲ Μίνως τὸ λίνον διειρμένον ᾔσθετο ὄντα παρ' ἐκείνῳ Δαίδαλον, καὶ εὐθέως ἀπῄτει. Κώκαλος δὲ ὑποσχόμενος ἐκδώσειν ἐξένισεν αὐτόν· ὁ δὲ λουσάμενος ὑπὸ τῶν Κωκάλου θυγατέρων ἔκλυτος ἐγένετο· ὡς δὲ ἔνιοί φασι, ζεστῷ καταχυθεὶς ⟨ὕδατι⟩ μετήλλαξεν.

χώραν ἐρευνῶν ἐκόμιζε κόχλον, καὶ πολὺν ὑπισχνεῖτο δοῦναι μισθὸν τῷ διὰ τοῦ κοχλίου λίνον διείραντι, διὰ τούτου νομίζων εὑρήσειν Δαίδαλον. ἐλθὼν δὲ εἰς ... Κώκαλον, παρ' ᾧ Δαίδαλος ἐκρύπτετο, δείκνυσι τὸν κοχλίαν. ὁ δὲ λαβὼν ἐπηγγέλλετο διείρειν καὶ Δαιδάλῳ δίδωσιν· ὁ δὲ ἐξάψας μύρμηκος λίνον καὶ τρήσας τὸν κοχλίαν εἴασε δι' αὐτοῦ διελθεῖν. λαβὼν δὲ Μίνως τὸν λίνον διειρμένον ᾔσθετο εἶναι παρ' ἐκείνῳ τὸν Δαίδαλον, καὶ εὐθέως ἀπῄτει· Κώκαλος δὲ ὑποσχόμενος δώσειν ἐξένισεν αὐτόν. ὁ δὲ λουσάμενος ὑπὸ τῶν Κωκάλου θυγατέρων ἀνῃρέθη ζέουσαν πίσσαν ἐπιχεαμένων αὐτῷ.

3. 8. *λῖνον* E 3. *διείρξαντι* E *διείξαντι* Zenob., corr. *Valckenarius* 7. *διείρξειν* E: *διέρξειν* Zenob., corr. *Valckenarius* 9. *διειργμένον* E *διειργασμένον* Zenob., corr. *Valckenarius* 13. *ξεστῷ καταλυθεὶς μετήλλαξεν* E, correxi ex schol. Hom. *B* 145: *ἀποθνήσκει καταχεθέντος αὐτοῦ ζεστοῦ ὕδατος.* Apparet igitur Apollodorum scripsisse: *ὁ δὲ λουσάμενος ὑπὸ τῶν Κωκάλου θυγατέρων ἀνῃρέθη ζέουσαν πίσσαν*

(III.) *Ὅτι Θησεὺς Ἡρακλεῖ συστρατευσάμενος ἐπὶ Ἀμαζόνας ἥρπασε Γλαύκην τὴν καὶ Μελανίππην,*

ἐξ ἧς ἔσχε παῖδα Ἱππόλυτον. τὴν πρότερον δὲ διαλυσάμενος ἔχθραν, λαμβάνει παρὰ Δευκαλίωνος Φαίδραν τὴν Μίνωος θυγατέρα,

[Ex epitoma Vaticana huc referenda sunt, quae leguntur cap. 5, 2.]

ἐξ ἧς γεννᾷ δύο παῖδας

ϲυϲτρατευϲάμενοϲ δὲ ἐπὶ 16
Ἀμαζόναϲ Ἡρακλεῖ ἥρπαϲεν p. 184, 11
Ἀντιόπην, ὡϲ δέ τινεϲ Με-
λανίππην, Σιμωνίδηϲ δὲ Ἱπ-
πολύτην. διὸ ἐϲτράτευϲαν
ἐπ' Ἀθήναϲ Ἀμαζόνεϲ. καὶ
ϲτρατευϲαμέναϲ αὐτὰϲ περὶ
τὸν Ἄρειον πάγον Θηϲεὺϲ
μετὰ Ἀθηναίων ἐνίκηϲεν.
ἔχων δὲ ἐκ τῆϲ Ἀμαζόνοϲ
παῖδα Ἱππόλυτον, λαμβάνει 17
μετὰ ταῦτα παρὰ Δευκαλί-
ωνοϲ Φαίδραν τὴν Μίνωοϲ
θυγατέρα, ἧϲ ἐπιτελουμένων
τῶν γάμων Ἀμαζὼν ἡ
προγαμηθεῖϲα Θηϲεῖ τοὺϲ
ϲυγκατακειμένουϲ ϲὺν ταῖϲ
μεθ' ἑαυτῆϲ Ἀμαζόϲιν ἐπι-
ϲτᾶϲα ϲὺν ὅπλοιϲ κτείνειν
ἔμελλεν. οἱ δὲ κλείϲαντεϲ
διὰ τάχουϲ τὰϲ θύραϲ ἀπ-
έκτειναν αὐτήν. τινὲϲ δὲ
μαχομένην αὐτὴν ὑπὸ Θη-
ϲέωϲ λέγουϲιν ἀποθανεῖν.
Φαίδρα δὲ γεννήϲαϲα Θηϲεῖ 18

ἐπιχεαμένων αὐτῷ· ὡς δὲ ἔνιοί φασιν, ξεστῷ καταχυθεὶς ὕδατι μετήλλαξεν (conf. Mus. Rhen. XLI p. 142).
4. *σιμωνίτης* S Simonides] de Theseo conf. frgg. 54—56 Bgk. 7. *στρατοπεδευσαμένας Büch.* 7 s. *περὶ τὸν Ἄρειον πάγον*] conf. Plut. Thes. 27, 9: *μέχρι τῶν Εὐμενίδων* 12. *παραδευκαλίωνος* S 13 ss. *φαῖδραν* et *φαῖδρα* E 17. *σὺν* S: *ἅμα* E l. l. 23. *ὑποθησέως* S

'Ἀκάμαντα καὶ Δημοφῶντα. Φαίδρα γοῦν ἐρᾷ τοῦ ἐκ τῆς Ἀμαζόνος παιδὸς [ἤγουν τοῦ Ἱππολύτου] καὶ δεῖται συνελθεῖν αὐτῇ. ὁ δὲ μισῶν πάσας γυναῖκας τὴν συνουσίαν ἔφυγεν. ἡ δὲ Φαίδρα, δείσασα μὴ τῷ πατρὶ διαβάλῃ, κατασχοῦσα τὰς τοῦ θαλάμου θύρας καὶ τὰς ἐσθῆτας σπαράξασα κατεψεύσατο Ἱππολύτου

19 *βίαν. Θησεὺς δὲ πιστεύσας ηὔξατο Ποσειδῶνι Ἱππόλυτον διαφθαρῆναι· ὁ δέ, θέοντος αὐτοῦ ἐπὶ τοῦ ἅρματος καὶ παρὰ τῇ θαλάσσῃ ὀχουμένου, ταῦρον ἀνῆκεν ἐκ τοῦ κλύδωνος. πτοηθέντων δὲ τῶν ἵππων κατηρράχθη τὸ ἅρμα. ἐμπλακεὶς δὲ ⟨ταῖς ἡνίαις⟩ Ἱππόλυτος συρόμενος ἀπέθανε. γενομένου δὲ τοῦ ἔρωτος περιφανοῦς ἑαυτὴν ἀνήρτησε Φαίδρα.*

δύο παιδία Ἀκάμαντα καὶ Δημοφῶντα ἐρᾷ Ἱππολύτου

καὶ δεῖται ϲυνελθεῖν. ὁ δὲ μιϲῶν πάϲαϲ τὰϲ γυναῖκαϲ τὴν ϲυνουϲίαν ἔφυγεν. ἡ δὲ Φαίδρα, δείϲαϲα μὴ τῷ πατρὶ διαβάλῃ, καταϲχίϲαϲα τὰϲ τοῦ θαλάμου θύραϲ καὶ τὰϲ ἐϲθῆταϲ ϲπαράξαϲα κατεψεύϲατο Ἱππολύτου βίαν. Θηϲεὺϲ δὲ πιϲτεύϲαϲ ηὔξατο Ποϲειδῶνι Ἱππόλυτον δαρῆναι.ιαφθ ὁ δέ, θέοντοϲ αὐτοῦ ἐπὶ ἅρματοϲ καὶ παρὰ τῇ θαλάϲϲῃ ὀχουμένου, ταῦρον ἀνῆκεν ἐκ τοῦ κλύδωνοϲ. πτοηθέντων δὲ τῶν ἵππων κατεάχθη τὸ ἅρμα. ἐμπλακεὶϲ δὲ ⟨ταῖϲ ἡνίαιϲ⟩ Ἱππόλυτοϲ ϲυρόμενοϲ ἀπέθανε. γενομένου δὲ τοῦ ἔρωτοϲ περιφανοῦϲ ἑαυτὴν ἀνήρτηϲε Φαίδρα.

4. *ἤγουν τοῦ Ἱππολύτου* E, delevi 9. *κατασχίσασα* *S: *κατασχοῦσα* A 13. *βίαν* *S: *βίας* E 18. *ὀχουμένου* *E: *ὀχούμενος* S 21. *κατηρράχθη* *E: *κατεάχθη* S, *κατηράχθη* *Herwerdenus* Mnemos. XX p. 197 22. *ταῖς ἡνίαις* addidi ex schol. Plat. Legg. XI p. 931 b (conf. ep. 2, 7: *ταῖς ἡνίαις συμπλακέντα,* et de Hippolyto Eurip. Hipp. 1236, Diod. IV 62, 3)

(IV.) Ὅτι ὁ Ἰξίων Ἥρας ἐρασθεὶς ἐπεχείρει βιάζε- 20
σθαι, καὶ προσαγγειλάσης τῆς Ἥρας γνῶναι θέλων ὁ Ζεύς, εἰ οὕτως ἔχει τὸ πρᾶγμα, νεφέλην ἐξεικάσας Ἥρᾳ παρέκλινεν αὐτῷ· καὶ καυχώμενον ὡς Ἥρᾳ μιγέντα ἐνέδησε τροχῷ, ὑφ' οὗ φερόμενος διὰ πνευμάτων ἐν αἰθέρι ταύτην τίνει δίκην. νεφέλη δὲ ἐξ Ἰξίονος ἐγέννησε Κένταυρον.

* *
*

Hic inserenda sunt, quae Zenobii interpolator de Pirithoi nuptiis ex bibliotheca adscripsit ad V 33:

Συνεμάχησε δὲ τῷ Πειρίθῳ Θησεύς, ὅτε κατὰ τῶν 21
Κενταύρων συνεστήσατο πόλεμον. Πειρίθους γὰρ Ἱπποδάμειαν μνηστευόμενος εἱστία Κενταύρους ὡς συγγενεῖς ὄντας αὐτῇ. ἀσυνήθως δὲ ἔχοντες οἴνου ἀφειδῶς ἐμφορησάμενοι ἐμέθυον, καὶ εἰσαγομένην τὴν νύμφην ἐπεχείρουν βιάζεσθαι· ὁ δὲ Πειρίθους μετὰ Θησέως καθοπλισάμενος μάχην συνῆψε, καὶ πολλοὺς ὁ Θησεὺς αὐτῶν ἀνεῖλεν.

* *
*

(V.) Ὅτι Καινεὺς πρότερον ἦν γυνή, συνελθόντος 22
δὲ αὐτῇ Ποσειδῶνος ᾐτήσατο ἀνὴρ γενέσθαι ἄτρωτος· διὸ καὶ ἐν τῇ πρὸς Κενταύρους μάχῃ τραυμάτων καταφρονῶν πολλοὺς τῶν Κενταύρων ἀπώλεσεν, οἱ δὲ λοιποί, περιστάντες αὐτῷ, ἐλάταις τύπτοντες ἔχωσαν εἰς γῆν.

(VI.) Ὅτι Θησεύς, Πειρίθῳ συνθέμενος Διὸς θυ- 23
γατέρας γαμῆσαι, ἑαυτῷ μὲν ἐκ Σπάρτης μετ' ἐκείνου

8—15. hanc narrationem Apollodoro restituit *Robertus* de Apollod. bibl. p. 49 (conf. etiam Epit. Vat. p. 147) 15. ἀπ' αὐτῶν Zenobii codd., correxi

ἥρπασεν Ἑλένην δωδεκαέτη οὖσαν, Πειρίθῳ δὲ μνηστευόμενος τὸν Περσεφόνης γάμον εἰς Ἅιδου κάτεισι. καὶ Διόσκουροι μὲν μετὰ Λακεδαιμονίων καὶ Ἀρκάδων εἷλον Ἀθήνας καὶ ἀπάγουσιν Ἑλένην καὶ μετὰ ταύτης Αἴθραν τὴν Πιτθέως αἰχμάλωτον· Δημοφῶν δὲ καὶ Ἀκάμας ἔφυγον. κατάγουσι δὲ καὶ Μενεσθέα καὶ τὴν
24 ἀρχὴν τῶν Ἀθηναίων διδόασι τούτῳ. Θησεὺς δὲ μετὰ Πειρίθου παραγενόμενος εἰς Ἅιδου ἐξαπατᾶται, καὶ ὡς ξενίων μεταληψομένους πρῶτον ἐν τῷ τῆς Λήθης εἶπε καθεσθῆναι θρόνῳ, ᾧ προσφυέντες σπείραις δρακόντων κατείχοντο. Πειρίθους μὲν οὖν εἰς Ἀϊδωνέα δεθεὶς ἔμεινε, Θησέα δὲ Ἡρακλῆς ἀναγαγὼν ἔπεμψεν εἰς Ἀθήνας. ἐκεῖθεν δὲ ὑπὸ Μενεσθέως ἐξελαθεὶς πρὸς Λυκομήδην ἦλθεν, ὃς αὐτὸν βάλλει κατὰ βαράθρων καὶ ἀποκτείνει.

---

2 (VII.) Ὅτι ὁ Τάνταλος ἐν Ἅιδου κολάζεται, πέτρον ἔχων ὑπερθεν ἑαυτοῦ ἐπιφερόμενον, ἐν λίμνῃ τε διατελῶν καὶ περὶ τοὺς ὤμους ἑκατέρωσε δένδρα μετὰ καρπῶν ὁρῶν παρὰ τῇ λίμνῃ πεφυκότα· τὸ μὲν οὖν ὕδωρ ψαύει αὐτοῦ τῶν γενύων, καὶ ὅτε θέλοι σπάσασθαι τούτου ξηραίνεται, τῶν δὲ καρπῶν ὁπότε βούλοιτο μεταλήψεσθαι μετεωρίζονται μέχρι νεφῶν ὑπ' ἀνέμων τὰ δένδρα σὺν τοῖς καρποῖς. κολάζεσθαι δὲ αὐτὸν οὕτως

1. *δωδεκαετῆ?* 4. *εἷλον Ἀθήνας*] conf. bibl. III 128, Epit. Vat. p. 152 ss. 8. *καὶ* ⟨*ὃς*⟩ *ὡς* *Herwerdenus* ib. p. 198 *της* E 11 ss.] conf. bibl. II 124 11. *εἰς αἰδωνέα* E: *εἰς ἀίδιον* *Herwerdenus* Mnemos. XX p. 198 14. *βάθρων* A, correxi (conf. ep. 5, 17: *κατὰ βαράθρων ἀφιέναι*) 16. *ᾄδη* E, correxi 20. *σπάσασθαι τούτου*] conf. bibl. I 143: *τοῦ ταυρείου σπασάμενος αἵματος* 22. *μετεωρίζοντα* E, correxi (pluralis numerus ad fructus magis, quam ad *δένδρα* respicit)

λέγουσί τινες, ὅτι τὰ τῶν θεῶν ἐξελάλησεν ἀνθρώποις
μυστήρια, καὶ ὅτι τῆς ἀμβροσίας τοῖς ἡλικιώταις με-
τεδίδου.
(VIII.) Ὅτι Βροτέας κυνηγὸς ὢν τὴν Ἄρτεμιν οὐκ 2
ἐτίμα· ἔλεγε δὲ, ὡς οὐδ' ὑπὸ πυρός τι πάθοι. ἐμμα-
νὴς οὖν γενόμενος ἔβαλεν εἰς πῦρ ἑαυτόν.
(IX.) Ὅτι Πέλοψ σφαγεὶς ἐν τῷ τῶν θεῶν ἐράνῳ 3
καὶ καθεψηθεὶς ὡραιότερος ἐν τῇ ἀναζωώσει γέγονε,
καὶ κάλλει διενεγκὼν Ποσειδῶνος ἐρώμενος γίνεται,
ὃς αὐτῷ δίδωσιν ἅρμα ὑπόπτερον· τοῦτο καὶ διὰ θα-
λάσσης τρέχον τοὺς ἄξονας οὐχ ὑγραίνετο. τοῦ δὲ 4
βασιλεύοντος Πίσης Οἰνομάου θυγατέρα ἔχοντος Ἱπ-
ποδάμειαν, καὶ εἴτε αὐτῆς ἐρῶντος, ὥς τινες λέγουσιν,
εἴτε χρησμὸν ἔχοντος τελευτῆσαι ὑπὸ τοῦ γήμαντος
αὐτήν, οὐδεὶς αὐτὴν ἐλάμβανεν εἰς γυναῖκα· ὁ μὲν γὰρ
πατὴρ οὐκ ἔπειθεν αὐτῇ συνελθεῖν, οἱ δὲ μνηστευ-
όμενοι ἀνῃροῦντο ὑπ' αὐτοῦ. ἔχων γὰρ ὅπλα τε καὶ 5
ἵππους παρὰ Ἄρεος ἆθλον ἐτίθει τοῖς μνηστῆρσι τὸν
γάμον, καὶ τὸν μνηστευόμενον ἔδει ἀναλαβόντα τὴν
Ἱπποδάμειαν εἰς τὸ οἰκεῖον ἅρμα φεύγειν ἄχρι τοῦ
Κορινθίων ἰσθμοῦ, τὸν δὲ Οἰνόμαον εὐθέως διώκειν
καθωπλισμένον καὶ καταλαβόντα κτείνειν· τὸν δὲ μὴ
καταληφθέντα ἔχειν γυναῖκα τὴν Ἱπποδάμειαν. καὶ
τοῦτον τὸν τρόπον πολλοὺς μνηστευομένους ἀπέκτεινεν,

4—6. hunc locum iam initio saeculi XVI *Janus Parrhasius* ex 'collectaneis historiarum' transtulit in librum 'De rebus per epistulam quaesitis' p. 20 (conf. praefat.) 5. fort. *δὲ* ⟨*καὶ*⟩ *οὐδ'*] *ἂν* add. *Herwerdenus* ib. p. 198 11.—p. 185, 4.] conf. **Tzetz. Lycophr. 156 = schol. Eurip. Or. 990** 12. *πίσσης* E 15. *ἐλάμβανεν εἰς γυναῖκα*] *εἰς* del. *Herwerdenus* ib. p. 198, sed conf. ep. 6, 13: *δίδωσιν εἰς γυναῖκα* 16. *ἔπειθεν αὐτῇ*] *ἐπέτρεπεν* ⟨*οὐδενὶ*⟩ *αὐτῇ* *Herwerdenus* ib. p. 198

ὡς δέ τινες λέγουσι δώδεκα· τὰς δὲ κεφαλὰς τῶν μνη-
στήρων ἐκτέμνων τῇ οἰκίᾳ προσεπαττάλευε.
6 παραγίνεται τοίνυν καὶ Πέλοψ ἐπὶ τὴν μνηστείαν·
οὗ τὸ κάλλος ἰδοῦσα ἡ Ἱπποδάμεια ἔρωτα ἔσχεν αὐτοῦ,
καὶ πείθει Μυρτίλον τὸν Ἑρμοῦ παῖδα συλλαβέσθαι
αὐτῷ· ἦν δὲ Μυρτίλος [παραβάτης εἴτουν] ἡνίοχος
7 Οἰνομάου. Μυρτίλος οὖν ἐρῶν αὐτῆς καὶ βουλόμενος
αὐτῇ χαρίσασθαι, ταῖς χοινικίσι τῶν τροχῶν τοὺς ἥλους
οὐκ ἐμβαλὼν ἐποίησε τὸν Οἰνόμαον ἐν τῷ τρέχειν ἡτ-
τηθῆναι καὶ ταῖς ἡνίαις συμπλακέντα συρόμενον ἀπο-
θανεῖν, κατὰ δέ τινας ἀναιρεθῆναι ὑπὸ τοῦ Πέλοπος·
ὃς ἐν τῷ ἀποθνήσκειν κατηράσατο τῷ Μυρτίλῳ γνοὺς
τὴν ἐπιβουλήν, ἵνα ὑπὸ Πέλοπος ἀπόληται.
8 λαβὼν οὖν Πέλοψ τὴν Ἱπποδάμειαν καὶ διερχόμε-
νος ἔν τόπῳ τινί, τὸν Μυρτίλον ἔχων μεθ' ἑαυτοῦ,
μικρὸν ἀναχωρεῖ κομίσων ὕδωρ διψώσῃ τῇ γυναικί·
Μυρτίλος δὲ ἐν τούτῳ βιάζειν αὐτὴν ἐπεχείρει. μαθὼν
δὲ τοῦτο παρ' αὐτῆς ὁ Πέλοψ ῥίπτει τὸν Μυρτίλον
περὶ Γεραιστὸν ἀκρωτήριον εἰς τὸ ἀπ' ἐκείνου κληθὲν
Μυρτῷον πέλαγος· ὁ δὲ ῥιπτούμενος ἀρὰς ἔθετο κατὰ
9 τοῦ Πέλοπος γένους. παραγενόμενος δὲ Πέλοψ ἐπ'

5. τὸν Ἑρμοῦ παῖδα] υἱοῦ δὲ τυγχάνοντος (ὑπάρχοντος schol. Eurip.) Ἑρμοῦ καὶ Κλεοβούλης τῆς Αἰόλου [ἢ Αἰπόλου] θυγατρός Tzetz. Lycophr. 156, schol. Eurip. Or. 990.

---

4. ἔσχεν E: fort ἴσχει (conf. *Hercherum* Philol. IV p. 569) 6. παραβάτης εἴτουν delevi 9. οὐκ E Tzetz.: μὴ schol. Eurip., Tzetz. codd. Vitt. 2 et 3 11. ἀνηρεθῆναι E 13. ἀπόληται E Tzetz. schol. Hom. *B* 104: ἀνέληται schol. Eurip., Tzetz. codd. iidem 14 ss. διερχόμενος . . .] διερχόμενος ἐν τόπῳ τινὶ διψώσης αὐτῆς ἀνεχώρησεν, ἵνα ὕδωρ αὐτῇ κομίσῃ Tzetz. 18. αὐτὴν E, correxi 20. ῥιπτούμενος] conf. bibl. III 218 (τελευτῶν schol. Eurip. Tzetz.)

ὠκεανὸν καὶ ἁγνισθεὶς ὑπὸ Ἡφαίστου, ἐπανελθὼν εἰς Πῖσαν τῆς Ἤλιδος τὴν Οἰνομάου βασιλείαν λαμβάνει, χειρωσάμενος τὴν πρότερον Ἀπίαν καὶ Πελασγιῶτιν λεγομένην, ἣν ἀφ' ἑαυτοῦ Πελοπόννησον ἐκάλεσεν.

(X.) *Ὅτι υἱοὶ Πέλοπος Πιτθεὺς Ἀτρεὺς Θυέστης* 10
καὶ ἕτεροι· γυνὴ δὲ Ἀτρέως Ἀερόπη τοῦ Κατρέως, ἥτις ἤρα Θυέστου. ὁ δὲ Ἀτρεὺς εὐξάμενός ποτε τῶν αὐτοῦ ποιμνίων, ὅπερ ἂν κάλλιστον γένηται, τοῦτο θῦσαι Ἀρτέμιδι, λέγουσιν ἀρνὸς φανείσης χρυσῆς ὅτι κατημέλησε τῆς εὐχῆς· πνίξας δὲ αὐτὴν εἰς λάρνακα κατέ- 11
θετο κἀκεῖ ἐφύλασσε ταύτην· ἣν Ἀερόπη δίδωσι τῷ Θυέστῃ μοιχευθεῖσα ὑπ' αὐτοῦ. χρησμοῦ γὰρ γεγονότος τοῖς Μυκηναίοις ἑλέσθαι βασιλέα Πελοπίδην, μετεπέμψαντο Ἀτρέα καὶ Θυέστην. λόγου δὲ γενομένου περὶ τῆς βασιλείας ἐξεῖπε Θυέστης τῷ πλήθει τὴν βασιλείαν δεῖν ἔχειν τὸν ἔχοντα τὴν ἄρνα τὴν χρυσῆν· συνθεμένου δὲ τοῦ Ἀτρέως δείξας ἐβασίλευσε. Ζεὺς 12
δὲ Ἑρμῆν πέμπει πρὸς Ἀτρέα καὶ λέγει συνθέσθαι πρὸς Θυέστην περὶ τοῦ βασιλεῦσαι Ἀτρέα, εἰ τὴν ἐναντίαν ὁδεύσει ὁ Ἥλιος· Θυέστου δὲ συνθεμένου τὴν δύσιν εἰς ἀνατολὰς ὁ Ἥλιος ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαν-

2. *πίσσαν* E Tzetz. *νήσσαν* Eurip. cod. Monac. 560 4. *πελοπόνησον* E Eurip. cod. idem 5. — pag. 186, 15.] conf. **Tzetz. Chil. I 436—455**, qui v. 436 auctorem laudavit Apollodorum, non Apollonium, ut recte perspexit *Th. Voigt* De Atrei et Thyestae fabula I Diss. Hal. VI p. 401 ss. Praeterea confer ad 5—p. 186, 2. **schol. Hom. *B* 105 = schol. rec. Eurip. Or. 811**
6. *καὶ ἕτεροι*] in bibliotheca commemorantur: *Ἀτρεὺς καὶ Θυέστης* II 56, *Κοπρεύς* II 76, *Πλεισθένης* III 15, *Χρύσιππος* III 44, *Ἀλκάθοος* III 162, *Πιτθεύς* III 208, *Ἀστυδάμεια Λυσιδίκη* II 50, in epitoma *Σκείρων* 1, 2 (conf. schol. Pind. Ol. I 144, schol. Eurip. Or. 5) 6. *κασtρέως* E, correxi 7. *αὑτοῦ* E, correxi 14. *μετεπέμψαντο Ἀτρέα καὶ Θυέστην*] conf. II 56
21. *ἀνατολὰς* E schol. Hom.: *ἀνατολὴν* schol. Eurip.

τος τοῦ δαίμονος τὴν Θυέστου πλεονεξίαν, τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε καὶ Θυέστην ἐφυγάδευσεν.
13 αἰσθόμενος δὲ τῆς μοιχείας ὕστερον κήρυκα πέμψας ἐπὶ διαλλαγὰς αὐτὸν ἐκάλει· καὶ ψευσάμενος εἶναι φίλος, παραγενομένου τοὺς παῖδας, οὓς εἶχεν ἐκ νηίδος νύμφης, Ἀγλαὸν καὶ Καλλιλέοντα καὶ Ὀρχομενόν, ἐπὶ τὸν Διὸς βωμὸν καθεσθέντας ἱκέτας ἔσφαξε, καὶ μελίσας καὶ καθεψήσας παρατίθησι Θυέστῃ χωρὶς τῶν ἄκρων, ἐμφορηθέντα δὲ δείκνυσι τὰ ἄκρα καὶ τῆς χώρας αὐτὸν
14 ἐκβάλλει. Θυέστης δὲ κατὰ πάντα τρόπον ζητῶν Ἀτρέα μετελθεῖν ἐχρηστηριάζετο περὶ τούτου καὶ λαμβάνει χρησμόν, ὡς εἰ παῖδα γεννήσει τῇ θυγατρὶ συνελθών. ποιεῖ γοῦν οὕτω καὶ γεννᾷ ἐκ τῆς θυγατρὸς... Αἴγισθον, ὃς ἀνδρωθεὶς καὶ μαθών, ὅτι Θυέστου παῖς ἐστι, κτείνας Ἀτρέα Θυέστῃ τὴν βασιλείαν ἀποκατέστησεν.

* * *

Tzetzes ex Apollodoro haud dubie (confer quae sequuntur in S) haec addit Chil. I. 456 ss.:

τὸν δ' Ἀγαμέμνονα τροφὸς μετὰ τοῦ Μενελάου
ἄγει πρὸς Πολυφείδεα, κρατοῦντα Σικυῶνος,
ὃς πάλιν τούτους πέπομφε πρὸς Αἰτωλὸν Οἰνέα.
μετ' οὐ πολὺ Τυνδάρεως τούτους κατάγει πάλιν,
οἳ τὸν Θυέστην μὲν αὐτὸν Ἥρας βωμῷ φυγόντα
ὁρκώσαντες διώκουσιν οἰκεῖν τὴν Κυθηρίαν.

13. ἐκ τῆς θυγατρὸς] ἐκ Πελοπίας θυγατρὸς τεχθεὶς ἢ Μνησιφάνης Tzetz. Chil. I 453.

---

6. ἀγωὸν E, correxi Ἀγλαὸν Ὀρχομενὸν Κάλλαιον Tzetz. v. 449, Θυέστης δὲ λαβὼν Λαοδάμειαν ἔσχεν Ὀρχομενὸν †Ἀγανὴν Καλαόν schol. Eurip. Or. 5 6. ὀρχόμενον E 17. Polyphides erat vicesimus quartus rex Sicyoniorum, quo regnante Troia a Graecis capta est. Euseb. Chron. I p. 175 Sch.

οἱ δὲ Τυνδάρεω γαμβροὶ γίνονται θυγατράσιν, ὁ Ἀγαμέμνων μὲν λαβὼν σύνευνον Κλυταιμνήστραν, κτείνας αὐτῆς τὸν σύζυγον Τάνταλον τὸν Θυέστου σὺν τέκνῳ πάνυ νεογνῷ, Μενέλαος Ἑλένην.

* *
*

p. 166,10 Ἀγαμέμνων δὲ βασιλεύει Μυκηναίων καὶ γαμεῖ Τυν- 16
δάρεω θυγατέρα Κλυταιμνήστραν, τὸν πρότερον αὐτῆς ἄνδρα Τάνταλον Θυέστου σὺν τῷ παιδὶ κτείναντος, καὶ γίνεται αὐτῷ παῖς μὲν Ὀρέστης, θυγατέρες δὲ Χρυσόθεμις Ἠλέκτρα Ἰφιγένεια. Μενέλαος δὲ Ἑλένην γαμεῖ καὶ βασιλεύει Σπάρτης, Τυνδάρεω τὴν βασιλείαν δόντος αὐτῷ.

Αὖθις δὲ Ἑλένην Ἀλέξανδρος ἁρπάζει, ὥς τινες 3
λέγουσι κατὰ βούλησιν Διός, ἵνα Εὐρώπης καὶ Ἀσίας εἰς πόλεμον ἐλθούσης ἡ θυγάτηρ αὐτοῦ ἔνδοξος γένηται, ἢ καθάπερ εἶπον ἄλλοι ὅπως τὸ τῶν ἡμιθέων γένος ἀρθῇ.

(XI.) *Ὅτι μῆλον περὶ κάλλους Ἔρις ἐμβάλλει Ἥρᾳ καὶ Ἀθηνᾷ καὶ Ἀφροδίτῃ, καὶ κελεύει Ζεὺς Ἑρμῆν εἰς Ἴδην πρὸς Ἀλέξανδρον ἄγειν, ἵνα ὑπ' ἐκείνου διακριθῶσιν. αἱ δὲ ἐπαγγέλλονται δῶρα δώσειν Ἀλεξάνδρῳ, Ἥρα μὲν πασῶν προκριθεῖσα*

διὰ δὴ τού- 2
των μίαν αἰτίαν μῆλον περὶ κάλλους Ἔρις ἐμβάλλει Ἥρᾳ καὶ Ἀθηνᾷ καὶ Ἀφροδίτῃ, καὶ κελεύει ⟨Ζεὺς⟩ Ἑρμῆν εἰς Ἴδην πρὸς Ἀλέξανδρον ἄγειν, ἵνα ὑπ' ἐκείνου διακριθῶσι. αἱ δὲ ἐπαγγέλλονται δῶρα δώσειν Ἀλεξάνδρῳ· Ἥρα μὲν οὖν ἔφη προκριθεῖσα δώσειν

15. *ἀρθῇ*] conf. Mus. Rhen. XLVI p. 396 s., *Bethe* Herm. XXVI p. 609 16 s. contracta haec esse recte monet *Büch.* 18. *ἐμβάλει* S 20. *Ζεὺς* om. S 23. *οἱ* S 26 s. *ἔφη* et *δώσειν αὐτῷ* add. S

βασιλείαν πάντων, Ἀθηνᾶ
δὲ πολέμου νίκην, Ἀφρο-
δίτη δὲ γάμον Ἑλένης. ὁ
δὲ Ἀφροδίτην προκρίνει
καὶ πηξαμένου Φερέκλου
νῆας εἰς Σπάρτην ἐκπλέει.
3 ἐφ' ἡμέρας δ' ἐννέα ξενι-
σθεὶς παρὰ Μενελάῳ, τῇ δε-
κάτῃ πορευθέντος εἰς Κρή-
την ἐκείνου κηδεῦσαι τὸν
μητροπάτορα Κατρέα,
πείθει τὴν Ἑλένην ἀπα-
γαγεῖν σὺν ἑαυτῷ. ἡ δὲ
ἐνναέτη Ἑρμιόνην καταλι-
ποῦσα, ἐνθεμένη τὰ πλεῖ-
στα τῶν χρημάτων, ἀνάγε-
ται τῆς νυκτὸς σὺν αὐτῷ.
4 Ἥρα δὲ αὐτοῖς ἐπιπέμπει
χειμῶνα πολὺν, ὑφ' οὗ
βιασθέντες προσίσχουσι
Σιδῶνι. εὐλαβούμενος δὲ
Ἀλέξανδρος μὴ διωχθῇ,
πολὺν διέτριψε χρόνον ἐν
Φοινίκῃ καὶ Κύπρῳ. ὡς
δὲ ἀπήλπισε τὴν δίωξιν,
ἧκεν εἰς Τροίαν μετὰ Ἑλέ-
5 νης. ἔνιοι δέ φασιν Ἑλέ-

αὐτῷ πάντων βασιλείαν, Ἀθηνᾶ δὲ πολέμου νίκην, Ἀφροδίτη δὲ γάμον Ἑλένης. Ἀφροδίτην δὲ προκρίνας πηξαμένου ναῦς Φερέκλου πλεύσας εἰς Σπάρτην ἐπὶ ἐννέα ἡμέρας ξενίζεται παρὰ Μενελάου. τῇ δεκάτῃ δὲ πορευθέντος εἰς Κρήτην ἐκείνου κηδεῦσαι τὸν μητροπάτορα Κατρέα, πείθει τὴν Ἑλένην ἀπαγαγεῖν σὺν ἑαυτῷ. ἡ δὲ ἐνναέτη Ἑρμιόνην καταλιποῦσα, ἐνθεμένη τὰ πλεῖστα τῶν χρημάτων, ἀνάγεται τῆς νυκτὸς σὺν αὐτῷ. Ἥρα δὲ ἐπιπέμπει χειμῶνα πολὺν αὐτοῖς, ὑφ' οὗ βιασθέντες προσίσχουσι Σιδῶνι. εὐλαβούμενος δὲ Ἀλέξανδρος μὴ διωχθῇ, πολὺν διέτριψε χρόνον ἐν Φοινίκῃ καὶ Κύπρῳ. ὡς δὲ ἀπήλπισε τὴν δίωξιν, ἧκεν εἰς Τροίαν μετὰ Ἑλένης. ἔνιοι δέ φασιν Ἑλέ-

5. ναῦς *S: νῆας E 6. πλεύσας *S: ἐκπλέει E 8. Μενελάῳ *E: μενελάου S 14. ἐνναέτη ES: fort. ἐνναετῆ
18 ss.] confer praeter Procli epitomam Iliadis argum. Borbon. (in appendice).

νην μὲν ὑπὸ Ἑρμοῦ κατὰ βούλησιν Διὸς κομισθῆναι κλαπεῖσαν εἰς Αἴγυπτον καὶ δοθεῖσαν Πρωτεῖ τῷ βασιλεῖ τῶν Αἰγυπτίων φυλάττειν, Ἀλέξανδρον δὲ παραγενέσθαι εἰς Τροίαν πεποιημένον ἐκ νεφῶν εἴδωλον Ἑλένης ἔχοντα.

νην μὲν ὑπὸ Ἑρμοῦ κατὰ βούληϲιν Διὸϲ κομιϲθῆναι κλαπεῖϲαν εἰϲ Αἴγυπτον καὶ δοθεῖϲαν Πρωτεῖ τῷ p. 167,1 βαϲιλεῖ τῶν Αἰγυπτίων φυλάττειν, Ἀλέξανδρον δὲ παραγενέϲθαι εἰϲ Τροίαν πεποιημένον ἐκ νεφῶν εἴδωλον Ἑλένηϲ ἔχοντα.

Μενέλαοϲ δὲ αἰϲθόμενοϲ τὴν ἁρπαγὴν ἧκεν εἰϲ Μυκή- 6
ναϲ πρὸϲ Ἀγαμέμνονα, καὶ δεῖται ϲτρατείαν ἐπὶ Τροίαν ἀθροίζειν καὶ ϲτρατολογεῖν τὴν Ἑλλάδα. ὁ δὲ πέμπων κήρυκα πρὸϲ ἕκαϲτον τῶν βαϲιλέων τῶν ὅρκων ὑπεμίμνηϲκεν ὧν ὤμοϲαν, καὶ περὶ τῆϲ ἰδίαϲ γυναικὸϲ ἕκαϲτον ἀϲφαλίζεϲθαι παρῄνει, ἴϲην λέγων γεγενῆϲθαι τὴν τῆϲ Ἑλλάδοϲ καταφρόνηϲιν καὶ κοινήν. ὄντων δὲ πολλῶν προθύμων ϲτρατεύεϲθαι, παραγίνονται καὶ πρὸϲ Ὀδυϲϲέα εἰϲ Ἰθάκην.

(XII.) *Ὅτι Ὀδυσσεὺς μὴ βουλόμενος στρατεύεσθαι προσποιεῖται μανίαν· Παλαμήδης δὲ ὁ Ναυπλίου ἤλεγξε τὴν μανίαν ψευδῆ, καὶ προσποιησαμένῳ μεμηνέναι παρηκολούθει· ἁρπάσας δὲ Τηλέμαχον ἐκ τοῦ κόλπου τῆς Πηνελόπης ὡς κτενῶν ἐξιφούλκει.*

ὁ δὲ οὐ 7
βουλόμενοϲ ϲτρατεύεϲθαι προϲποιεῖται μανίαν. Παλαμήδηϲ δὲ ὁ Ναυπλίου ἤλεγξε τὴν μανίαν ψευδῆ, καὶ προϲποιηϲαμένου μεμηνέναι παρηκολούθει. ἁρπάϲαϲ δὲ Τηλέμαχον ἐκ τοῦ Πηνελόπηϲ κόλπου ὡϲ κτενῶν ἐξιφούλκει.

3. *κλαπεῖσαν* *E: *καταπεῖσαν* S (corr. *Büch.*) 19. *οὐ* *S: *μὴ* E 24. *προσποιησάμενῳ* *E: *προσποιησαμένου* S

Ὀδυσσεὺς δὲ περὶ τοῦ παιδὸς εὐλαβηθεὶς ὡμολόγησε τὴν προσποίητον μανίαν καὶ στρατεύεται.	Ὀδυccεὺc δὲ περὶ τοῦ παιδὸc εὐλαβηθεὶc ὡμολόγηcε τὴν προcποίητον μανίαν καὶ cτρατεύεται.

8 (XIV.) *Ὅτι Ὀδυσσεὺς λαβὼν αἰχμάλωτον Φρύγα ἠνάγκασε γράψαι περὶ προδοσίας ὡς παρὰ Πριάμου πρὸς Παλαμήδην· καὶ χώσας ἐν ταῖς σκηναῖς αὐτοῦ χρυσὸν τὴν δέλτον ἔρριψεν ἐν τῷ στρατοπέδῳ. Ἀγαμέμνων δὲ ἀναγνοὺς καὶ εὑρὼν τὸν χρυσόν, τοῖς συμμάχοις αὐτὸν ὡς προδότην παρέδωκε καταλεῦσαι.*

9 (XIII.) *Ὅτι Μενέλαος σὺν Ὀδυσσεῖ καὶ Ταλθυβίῳ πρὸς ⟨Κινύραν εἰς⟩ Κύπρον ἐλθόντες συμμαχεῖν ἔπειθον· ὁ δὲ Ἀγαμέμνονι μὲν οὐ παρόντι θώρακας ἐδωρήσατο, ὀμόσας δὲ πέμψειν πεντήκοντα ναῦς, μίαν πέμψας, ἧς ἦρχεν ... ὁ Μυγδαλίωνος, καὶ τὰς λοιπὰς ἐκ γῆς πλάσας μεθῆκεν εἰς τὸ πέλαγος.*

10 (XV.) *Ὅτι θυγατέρες Ἀνίου τοῦ Ἀπόλλωνος Ἐλαῒς Σπερμὼ Οἰνώ, αἳ Οἰνότροφοι λεγόμεναι· αἷς ἐχαρίσατο Διόνυσος ποιεῖν ἐκ γῆς ἔλαιον σῖτον οἶνον.*

15 s. *τὰς δὲ λοιπὰς ἐκ γῆς πλάσαντα πέμψαι καὶ γηίνους ἄνδρας ἐν αὐταῖς, καὶ οὕτω σοφίσασθαι τὸν ὅρκον ὄστρα ἰνῷ στόλῳ δεξιωσάμενον* Eustath.; sed haud scio, an haec non tam bibliothecae auctor addiderit, quam Eustathius, ut est proverbiorum amantissimus.

---

3. *προσποιητον* E 4. *στρατεύεται* ES: *συστρατεύεται* *Büch.* 11–16. (XIII.), quae in E leguntur ante I. 5 (XIV.), huc transposui Epit. Vat. p. 177 s. 5—10. de Palamede conf. schol. Eurip. Or. 432 11—16. de Cinyra conf. **Eustath. ad Hom. *Λ* 20** (p. 827, 34 ss.) 12. *πρὸς κύπρον* E, supplevi 13. *θώρακα?* conf. Hom. *Λ* 19 ss. 15. ante genetivum *ὁ Μυγδαλίωνος* nomen excidisse videtur 17 ss. de Anii filiabus conf. **schol. Marc. et Tzetz. Lycophr. 570**; narrationem continuam coniectura restituere conatus sum Epit. Vat. p. 183 ss. *ἀνιούτου τοῦ* E, correxi 18. *Οἰνοτρόφοι* E: *Οἰνοτρόπους* schol.

συνηθροίζετο δὲ ὁ στρατὸς ἐν Αὐλίδι. οἱ δὲ στρα- 11
τεύσαντες ἐπὶ Τροίαν ἦσαν οἵδε. Βοιωτῶν μὲν ἡγεμό-
νες δέκα· ἦγον ναῦς μ′. Ὀρχομενίων δ′· ἦγον ναῦς λ′.
Φωκέων ἡγεμόνες δ′· ἦγον ναῦς μ′. Λοκρῶν Αἴας
Ὀιλέως· ἦγε ναῦς μ′. Εὐβοέων Ἐλεφήνωρ Χαλκώδον-
τος καὶ Ἀλκυόνης· ἦγε ναῦς μ′. Ἀθηναίων Μενεσθεύς·
ἦγε ναῦς ν′. Σαλαμινίων·Αἴας ὁ Τελαμώνιος· ἦγε ναῦς
ιβ′. Ἀργείων Διομήδης Τυδέως καὶ οἱ σὺν αὐτῷ· ἦγον 12
ναῦς π′. Μυκηναίων Ἀγαμέμνων Ἀτρέως καὶ Ἀερόπης
ναῦς ρ′. Λακεδαιμονίων Μενέλαος Ἀτρέως καὶ Ἀερό-
πης ξ′. Πυλίων Νέστωρ Νηλέως καὶ Χλωρίδος ναῦς μ′.
Ἀρκάδων Ἀγαπήνωρ ναῦς ζ′. Ἠλείων Ἀμφίμαχος καὶ
οἱ σὺν αὐτῷ ναῦς μ′. Δουλιχίων Μέγης Φυλέως ναῦς
μ′. Κεφαλλήνων Ὀδυσσεὺς Λαέρτου καὶ Ἀντικλείας ναῦς
ιβ′. Αἰτωλῶν Θόας Ἀνδραίμονος καὶ Γόργης· ἦγε ναῦς μ′.
Κρητῶν Ἰδομενεὺς Δευκαλίωνος μ′. Ῥοδίων Τληπόλεμος 13
Ἡρακλέους καὶ Ἀστυόχης ναῦς θ′. Συμαίων Νιρεὺς
Χαρόπου ναῦς γ′. Κώων Φείδιππος καὶ Ἄντιφος οἱ
Θεσσαλοῦ λ′. Μυρμιδόνων Ἀχιλλεὺς Πηλέως καὶ Θέτι- 14
δος ν′. ἐκ Φυλάκης Πρωτεσίλαος Ἰφίκλου μ′. Φεραίων
Εὔμηλος Ἀδμήτου ια′. Ὀλιζώνων Φιλοκτήτης Ποίαντος

et Tzetz. (sed in Tzetzae codicibus *φ* suprascriptum esse adnotat *C. G. Müllerus*) 1 ss. de navium catalogo conf. **Hom. *B* 494—759, Hyg. fab. 97,** Dict. I 17, Dar. 14 (Mus. Rhen. XLVI p. 416) 2. *βιωτῶν* S, corr. *Ker.* 3. *δέκα*] *ε′* Hom. 494 ss. *μ′*] *ν′* Hom. 509 4. *Φωκ. ἡγεμ. δ′*] *β′* Hom. 517 5. *ὁ ἰλέως* S, corr. *Ker.* 7. *σαλμινίων* S, corr. *Ker.* 8. *οἱ σὺν αὐτῷ*] Sthenelus et Euryalus Hom. 564 s. 10. *λακεδεδαιμονίων* S 11. *πηλίων* S, corr. *Ker.* *μ′*] ϙ′ Hom. 602 12. *ζ′*] *ξ′* Hom. 610 13. *οἱ σὺν αὐτῷ*] Thalpius Diores Polyxinus Hom. 620 ss. 14. *κεφαληνῶν* S, corr. *Ker.* *αὐτικλείας* S, corr. *Ker.* 16. *Ἰδομενεὺς*] Merionem add. Hom. 651 *μ′*] *π′* Hom. 652 *τλιπόλεβος* S, corr. *Ker.* 17. *κυμαίων νηρεὺς χαρόπου* S, corr. *Ker. Büch.*

ζ'. Αἰνιάνων Γουνεὺς Ὠκύτου κβ'. Τρικκαίων Ποδαλείριος . . . λ'. Ὀρμενίων Εὐρύπυλος . . . ναῦς μ'. Γυρτωνίων Πολυποίτης Πειρίθου λ'. Μαγνήτων Πρόθοος p. 168, 1 Τενθρηδόνος μ'. νῆες μὲν οὖν αἱ πᾶσαι ‚αιγ', ἡγεμόνες δὲ μγ', ἡγεμονεῖαι δὲ λ'·

15 (XVI.) *Ὅτι ὄντος ἐν Αὐλίδι τοῦ στρατεύματος, θυσίας γενομένης Ἀπόλλωνι, ὁρμήσας δράκων ἐκ τοῦ βωμοῦ παρὰ τὴν πλησίον πλάτανον, οὔσης ἐν αὐτῇ νεοττιᾶς, τοὺς ἐπ' αὐτῇ καταναλώσας στρουθοὺς ὀκτὼ σὺν τῇ μητρὶ ἐνάτῃ λίθος ἐγένετο. Κάλχας δὲ εἰπὼν κατὰ Διὸς βούλησιν γεγονέναι αὐτοῖς τὸ σημεῖον τοῦτο, τεκμηράμενος ἐκ τῶν γεγονότων ἔφη δεκαετεῖ χρόνῳ δεῖν Τροίαν ἁλῶναι.*

θυσίας δὲ γενομένης ἐν Αὐλίδι τῷ Ἀπόλλωνι, ὄντος ἐκεῖ τοῦ στρατεύματος, ὁρμήσας δράκων ἐκ τοῦ βωμοῦ παρὰ τὴν πλησίον πλάτανον, οὔσης ἐν αὐτῇ νεοττείας, τοὺς ἐν αὐτῇ καταναλώσας στρουθοὺς ὀκτὼ σὺν τῇ μητρὶ ἐννάτῃ λίθος ἐγένετο. Κάλχας δὲ εἰπὼν κατὰ Διὸς βούλησιν γεγονέναι αὐτοῖς τὸ σημεῖον τοῦτο, τεκμηράμενος ἐκ τῶν γεγονότων ἔφη δεκαετεῖ χρόνῳ δεῖν Τροίαν ἁλῶναι. καὶ πλεῖν παρεσκευάζοντο ἐπὶ Τροίαν. Ἀγαμέμνων

16 (XVII.) *Ὅτι Ἀγαμέμνων*

1. *Αἰνιάνων Γουνεὺς Ὠκύτου κβ'* secundum Hom. 748 ss. transponenda sunt ante *Μαγνήτων* l. 3 *αἰνιανῶν* S, correxi *Ὠκύτου*] *Ociti* Hyg. *τρικαίων* S, corr. *Ker.* *Ποδαλείριος*] *καὶ Μαχάων Ἀσκληπιοῦ* haud dubie addendum est ex Hom. 732 2. *Εὐρύπυλος*] *Εὐαίμονος* adde ex Hom. 736 *Γυρτωνίων Ker.*: *γοργυτίων* S 3. *λ'*] *μ'* Hom. 747 *Πρόθοος* an *Πρόθους* incertum S 4. *πενθρηδόνος* S, corr. *Ker.* *‚αιγ'*] sunt *‚ακγ'*, apud Homerum *‚αρπϛ'*; de reliquis conf. *M. Schmidt.* Philol. XXIII p. 67 ss. 5. *μγ'*] sunt *με'*, apud Hom. *μγ'* *λ'*] sunt *κθ'*, ut apud Hom. 9. *εκτοῦ* S 11. *νεοττιᾶς* E: *νεοττείας* S 12. *ἐν* *S: *ἐπ'* E 14. *ἐνάτῃ* S 21. *παρεσκευάζετο* S, corr. *Büch.*

ἡγεμὼν τοῦ σύμπαντος στρατοῦ ἦν, ἐναυάρχει δ' Ἀχιλλεὺς πεντεκαιδεκαέτης τυγχάνων.

οὖν αὐτὸc ἡγεμὼν τοῦ cύμπαντοc cτρατοῦ ἦν, ἐναυάρχει δ' Ἀχιλλεὺc πεντεκαιδεκαέτηc τυγχάνων.

ἀγνοοῦντες δὲ τὸν ἐπὶ Τροίαν πλοῦν Μυσίᾳ προσ- 17
ίσχουσι καὶ ταύτην ἐπόρθουν, Τροίαν νομίζοντες εἶναι. βασιλεύων δὲ Τήλεφος Μυσῶν, Ἡρακλέους παῖς, ἰδὼν τὴν χώραν λεηλατουμένην, τοὺς Μυσοὺς καθοπλίσας ἐπὶ τὰς ναῦς συνεδίωκε τοὺς Ἕλληνας καὶ πολλοὺς ἀπέκτεινεν, ἐν οἷς καὶ Θέρσανδρον τὸν Πολυνείκους ὑποστάντα. ὁρμήσαντος δὲ Ἀχιλλέως ἐπ' αὐτὸν οὐ μείνας ἐδιώκετο· καὶ διωκόμενος ἐμπλακεὶς εἰς ἀμπέλου κλῆμα τὸν μηρὸν τιτρώσκεται δόρατι. τῆς δὲ Μυσίας 18
ἐξελθόντες Ἕλληνες ἀνάγονται, καὶ χειμῶνος ἐπιγενομένου σφοδροῦ διαζευχθέντες ἀλλήλων εἰς τὰς πατρίδας καταντῶσιν. ὑποστρεψάντων οὖν τῶν Ἑλλήνων τότε λέγεται τὸν πόλεμον εἰκοσαετῆ γενέσθαι· μετὰ γὰρ τὴν Ἑλένης ἁρπαγὴν ἔτει δευτέρῳ τοὺς Ἕλληνας παρασκευασαμένους στρατεύεσθαι, ἀναχωρήσαντας δὲ ἀπὸ Μυσίας εἰς Ἑλλάδα μετὰ ἔτη ὀκτὼ πάλιν εἰς Ἄργος μεταστραφέντας ἐλθεῖν εἰς Αὐλίδα.

συνελθόντων δὲ αὐτῶν ἐν Ἄργει αὖθις μετὰ τὴν 19
ῥηθεῖσαν ὀκταετίαν, ἐν ἀπορίᾳ τοῦ πλοῦ πολλῇ καθ-

7 s. *Τήλεφος δέ, ὁ Ἡρακλέους καὶ Αὔγης τῆς Ἀλέου παῖς, βασιλεύων Μυσῶν* schol. Hom. *Α* 59. — 12 s. *ἐν δὲ τῷ τρέχειν ἐμπλακεὶς ἀμπέλου κλήματι τὸν μηρὸν τιτρώσκεται, νεμεσήσαντος αὐτῷ Διονύσου, [ὅτι ἄρα ὑπὸ τούτου τῶν τιμῶν ἀφῄρητο]* schol. idem (conf. Epit. Vat. p. 189).

---

2. *ἐναυάρχη* S 3. *πεντεκαιδεκαέτης* ES, fort. *πεντεκαιδεκαετής* 5.—16.] conf. **schol. Hom. *Α* 59** (*οἱ νεώτεροι*) 7. *καὶ ἰδὼν* schol. Hom. 9. *συνεδίωκε τοὺς Ἕλληνας καὶ* E: *τοὺς Ἕλληνας συνδιώξας* schol. Hom. 19 ss. *ἀναχωρήσαντες … μεταστραφέντες* E, correxi

εστήκεσαν, καθηγεμόνα μὴ ἔχοντες, ὃς ἦν δυνατὸς δεῖξαι
20 τὴν εἰς Τροίαν. Τήλεφος δὲ ἐκ τῆς Μυσίας, ἀνίατον τὸ τραῦμα ἔχων, εἰπόντος αὐτῷ τοῦ Ἀπόλλωνος τότε τεύξεσθαι θεραπείας, ὅταν ὁ τρώσας ἰατρὸς γένηται, τρύχεσιν ἠμφιεσμένος εἰς Ἄργος ἀφίκετο, καὶ δεηθεὶς Ἀχιλλέως καὶ ὑπεσχημένος τὸν εἰς Τροίαν πλοῦν δεῖξαι θεραπεύεται ἀποξύσαντος Ἀχιλλέως τῆς Πηλιάδος μελίας τὸν ἰόν. θεραπευθεὶς οὖν ἔδειξε τὸν πλοῦν, τὸ τῆς δείξεως ἀσφαλὲς πιστουμένου τοῦ Κάλχαντος διὰ τῆς ἑαυτοῦ μαντικῆς.

21 ἀναχθέντων δὲ αὐτῶν ἀπ' Ἄργους καὶ παραγενομένων τὸ δεύτερον εἰς Αὐλίδα, τὸν στόλον ἄπλοια κατεῖχε· Κάλχας δὲ ἔφη μὴ ἄλλως δύνασθαι πλεῖν αὐτούς, εἰ μὴ τῶν Ἀγαμέμνονος θυγατέρων ἡ κρατιστεύουσα κάλλει σφάγιον Ἀρτέμιδι παραστῇ, διὰ τὸ μηνίειν τὴν θεὸν τῷ Ἀγαμέμνονι, ὅτι τε βαλὼν ἔλαφον εἶπεν· οὐδὲ ἡ Ἄρτεμις,

ἄπλοια οὖν κατεῖχε τὸν στόλον. Κάλχας δὲ ἔφη οὐκ ἄλλως δύνασθαι πλεῖν αὐτούς, εἰ μὴ τῶν Ἀγαμέμνονος θυγατέρων ἡ κρατιστεύουσα κάλλει σφάγιον Ἀρτέμιδος παραστῇ· ἔλεγε γὰρ μηνίσαι Ἀγαμέμνονι τὴν θεόν, κατὰ μέν τινας ἐπεὶ κατὰ θήραν ἐν Ἰκαρίῳ βαλὼν ἔλαφον εἶπεν οὐ δύνασθαι σωτηρίας αὐτὴν τυχεῖν οὐδ' Ἀρτέμιδος θελούσης,

2—10.] conf. schol. Hom. *A* 59 (οἱ νεώτεροι) 5. τρύχεσιν in ras. E 16. οὐκ *S: μὴ E 20. Ἀρτέμιδι E: Ἀρτέμιδος S 22. τὲ E 22 s. βαλὼν ES: βάλλων *Büch.* 23. ἐν Ἰκαρίῳ] conf. Mus. Rhen. XLVI p. 618 s. 23 ss. οὐδὲ ἡ Ἄρτεμις E Tzetz. Lycophr. 183: οὐδὲ ἡ Ἄρτεμις οὕτως ἂν ἐτόξευσεν schol. Hom. *A* 108; aliter hanc aposiopesin supplevit S

καὶ ὅτι Ἀτρεὺς οὐκ ἔθυσεν αὐτῇ τὴν χρυσῆν ἄρνα.

πέμψας οὖν Ἀγαμέμνων πρὸς Κλυταιμνήστραν Ὀδυσσέα καὶ Ταλθύβιον ἄγει τὴν Ἰφιγένειαν, εἰπὼν ὑπεσχῆσθαι δώσειν αὐτὴν Ἀχιλλεῖ γυναῖκα μισθὸν τῆς στρατείας [αὐτοῦ].

ἀλλὰ ταύτην μὲν Ἄρτεμις ἁρπάσασα ἱέρειαν ἑαυτῆς εἰς Σκυθοταύρους κατέστησεν, ἔλαφον ἀντ' αὐτῆς τῷ βωμῷ παραστήσασα.

κατὰ δέ τιναϲ ὅτι τὴν χρυϲῆν ἄρνα οὐκ ἔθυϲεν αὐτῇ Ἀτρεύϲ. τοῦ δὲ χρηϲμοῦ τούτου γενομένου, πέμψαϲ 22
Ἀγαμέμνων πρὸϲ Κλυταιμνήϲτραν Ὀδυϲϲέα καὶ Ταλθύβιον Ἰφιγένειαν ᾔτει, λέγων ὑπεϲχῆϲθαι δώϲειν αὐτὴν Ἀχιλλεῖ γυναῖκα μιϲθὸν τῆϲ ϲτρατείαϲ. πεμψάϲηϲ δὲ ἐκείνηϲ Ἀγαμέμνων τῷ βωμῷ παραϲτήϲαϲ ἔμελλε ϲφάζειν, Ἄρτεμιϲ δὲ αὐτὴν ἁρπάϲαϲα εἰϲ Ταύρουϲ ἱέρειαν αὐτῆϲ κατέϲτηϲεν, ἔλαφον ἀντ' αὐτῆϲ παραϲτήϲαϲα τῷ βωμῷ· ὡϲ δὲ ἔνιοι λέγουϲιν, ἀθάνατον αὐτὴν ἐποίηϲεν.

οἱ δὲ ἀναχθέντες ἐξ Αὐλίδος προσέσχον Τενέδῳ. 23
ταύτης ἐβασίλευε Τένης ὁ Κύκνου καὶ Προκλείας, ὡς δέ τινες Ἀπόλλωνος· οὗτος ὑπὸ τοῦ πατρὸς φυγαδευθεὶς ἐνταυθοῖ κατῴκει.

Κύκνος γὰρ ἔχων ἐκ Προκλείας τῆς Λαομέδοντος 24
παῖδα μὲν Τένην, θυγατέρα δὲ Ἡμιθέαν, ἐπέγημε τὴν

1. *χρυσὴν* S 8 s. *αὐτὴν* *E: *αὐτῇ* S 10. *αὐτοῦ* male add. E 14 s. *Ταύρους* *S: *Σκυθοταύρους* E; *ἐν Ταύροις τῆς Σκυθίας* schol. Hom. *A* 108 14. *ἑαυτῆς* *E: *αὐτῆς* S 17 ss.] conf. Fleckeis. ann. 1892 p. 251 24. — pag. 196, 9] de Tenne conf. **schol. Marc. et Tzetz. Lycophr. 232** 25 ss. *Τένην* E Tzetz. (praeter codd. Vitt. 2 et 3): *Τέννης* rectius schol. Marc. et alii (conf. Epit. Vat. p. 193 adn.)

Τραγάσου Φιλονόμην· ἥτις Τένου ἐρασθεῖσα καὶ μὴ πείθουσα καταψεύδεται πρὸς Κύκνον αὐτοῦ φθοράν, καὶ τούτου μάρτυρα παρεῖχεν αὐλητὴν Εὔμολπον ὄνομα.
25 *Κύκνος δὲ πιστεύσας, ἐνθέμενος αὐτὸν μετὰ τῆς ἀδελφῆς εἰς λάρνακα μεθῆκεν εἰς τὸ πέλαγος· προσσχούσης δὲ αὐτῆς Λευκόφρυι νήσῳ· ἐκβὰς ὁ Τένης κατῴκησε ταύτην καὶ ἀπ' αὐτοῦ Τένεδον ἐκάλεσε. Κύκνος δὲ ὕστερον ἐπιγνοὺς τὴν ἀλήθειαν τὸν μὲν αὐλητὴν κατέλευσε, τὴν δὲ γυναῖκα ζῶσαν εἰς γῆν κατέχωσε.*

26 *προσπλέοντας οὖν Τενέδῳ τοὺς Ἕλληνας ὁρῶν Τένης ἀπεῖργε βάλλων πέτρους, καὶ ὑπὸ Ἀχιλλέως ξίφει πληγεὶς κατὰ τὸ στῆθος θνήσκει, καίτοι Θέτιδος προειπούσης Ἀχιλλεῖ μὴ κτεῖναι Τένην· τεθνήξεσθαι*
27 *γὰρ ὑπὸ Ἀπόλλωνος αὐτόν, ἐὰν κτείνῃ Τένην. τελούντων δὲ αὐτῶν Ἀπόλλωνι θυσίαν, ἐκ τοῦ βωμοῦ προσελθὼν ὕδρος δάκνει Φιλοκτήτην· ἀθεραπεύτου δὲ τοῦ ἕλκους καὶ δυσώδους γενομένου τῆς τε ὀδμῆς οὐκ ἀνεχομένου τοῦ στρατοῦ, Ὀδυσσεὺς αὐτὸν εἰς Λῆμνον μεθ' ὧν εἶχε τόξων Ἡρακλείων ἐκτίθησι κελεύσαντος Ἀγαμέμνονος. ὁ δὲ ἐκεῖ τὰ πτηνὰ τοξεύων ἐπὶ τῆς ἐρημίας τροφὴν εἶχεν.*

28 *ἀναχθέντες δὲ ἀπὸ τῆς Τενέδου προσέπλεον Τροίᾳ, καὶ πέμπουσιν Ὀδυσσέα καὶ Μενέλαον τὴν Ἑλένην καὶ τὰ χρήματα ἀπαιτοῦντας.*

ἀναχθέντες δὲ προσέπλεον Τροίᾳ, καὶ πέμπουσιν Ὀδυσσέα καὶ Μενέλαον τὴν Ἑλένην καὶ τὰ χρήματα αἰτοῦντες.

1. *Τραγάσου* E Tzetz.: *Κράγασος* Paus. X 14, 2 (conf. Epit. Vat. p. 193 adn.) *Φιλονόμην* E schol. Marc. Tzetz.: *Φυλονόμη* rectius Paus. ibid. 3. *Εὔμολπον* E: *Μόλπος* schol. Marc., Plut. Quaest. Graec. 28 (Tzetzae codd. variant) 12. *θέ τι δος* in ras. E 13. *κτεῖναι* E 26. *ἀπαιτοῦντας* E *αἰτοῦντες* S: *ἀπαιτοῦντες* *Büch.*

συναθροισθείσης δὲ παρὰ τοῖς Τρωσὶν ἐκκλησίας, οὐ μόνον τὴν Ἑλένην οὐκ ἀπεδίδουν ἀλλὰ καὶ τούτους κτείνειν ἤθελον. ἀλλὰ τοὺς μὲν ἔσωσεν Ἀντήνωρ, οἱ δὲ Ἕλληνες, ἀχθόμενοι ἐπὶ τῇ τῶν βαρβάρων καταφρονήσει, ἀναλαβόντες τὴν πανοπλίαν ἔπλεον ἐπ' αὐτούς. Ἀχιλλεῖ δὲ ἐπιστέλλει Θέτις πρῶτον μὴ ἀποβῆναι τῶν νεῶν· τὸν γὰρ ἀποβάντα πρῶτον πρῶτον μέλλειν τελευτήσειν.

πρῶτος τοίνυν ἀπέβη τῆς νεὼς Πρωτεσίλαος, καὶ κτείνας οὐκ ὀλίγους τῶν βαρβάρων ὑφ' Ἕκτορος θνήσκει. τούτου ⟨ἡ⟩ γυνὴ Λαοδάμεια καὶ μετὰ θάνατον ἦρα, καὶ ποιήσασα εἴ-

ϲυναθροιϲθείϲηϲ δὲ παρὰ τοῖϲ Τρωϲὶν ἐκκληϲίαϲ, οὐ μόνον τὴν Ἑλένην οὐκ ἀπεδίδουν ἀλλὰ καὶ τούτουϲ κτείνειν ἤθελον. τούτουϲ 29
μὲν οὖν ἔϲωϲεν Ἀντήνωρ, οἱ δὲ Ἕλληνεϲ ἀχθόμενοι τῶν βαρβάρων τὴν καταφρόνηϲιν, ἀναλαβόντεϲ τὴν πανοπλίαν ἔπλεον ἐπ' αὐτούϲ. Ἀχιλλεῖ δὲ ἐπιϲτέλλει Θέτιϲ πρώτῳ μὴ ἀποβῆναι τῶν νεῶν· τὸν γὰρ ἀποβάντα πρῶτον μέλλειν καὶ τελευτᾶν. πυθόμενοι δὲ οἱ βάρβαροι τὸν ϲτόλον ἐπιπλεῖν, ϲὺν ὅπλοιϲ ἐπὶ τὴν θάλαϲϲαν ὥρμηϲαν καὶ βάλλοντεϲ πέτροιϲ ἀποβῆναι ἐκώλυον. τῶν δὲ 30
Ἑλλήνων πρῶτοϲ ἀπέβη τῆϲ
νηὸϲ Πρωτεϲίλαοϲ, καὶ κτεί- p. 169, 1
ναϲ οὐκ ὀλίγουϲ ὑφ' Ἕκτοροϲ θνήϲκει.

τούτου ⟨ἡ⟩ γυνὴ Λαοδάμεια καὶ μετὰ θάνατον ἦρα, καὶ ποιήϲαϲα εἴ-

5 s. *τούτους μὲν οὖν* *S: *ἀλλὰ τοὺς μὲν* E 8. *ἐπὶ τῇ τῶν βαρβάρων καταφρονήσει* *E: *τῶν βαρβάρων τὴν καταφρόνησιν* S 12. *πρώτῳ* S: *πρῶτον* E 14 s. *πρῶτον μέλλειν τελευτήσειν* *E: *μέλλειν καὶ τελευτᾶν* S 17. *πλεῖν* S, corr. *Büch.* 22. *νεὼς* *E: *νηὸς* S 23 s. *τῶν βαρβάρων* om. S 25. *ἡ* om. ES, add. *Büch.* 27. *ἦρα* S

δωλον Πρωτεσιλάῳ παραπλήσιον τούτῳ προσωμίλει. Ἑρμῆς δὲ ἐλεησάντων θεῶν ἀνήγαγε Πρωτεσίλαον ἐξ Ἅιδου. Λαοδάμεια δὲ ἰδοῦσα καὶ νομίσασα αὐτὸν ἐκ Τροίας παρεῖναι τότε μὲν ἐχάρη, πάλιν δὲ ἐπαναχθέντος εἰς Ἅιδου ἑαυτὴν ἐφόνευσεν.

δωλον Πρωτεσιλάῳ παραπλήσιον τούτῳ προσωμίλει.

31 Πρωτεσιλάου δὲ τελευτήσαντος, ἐκβαίνει μετὰ Μυρμιδόνων Ἀχιλλεὺς καὶ λίθον ⟨βα⟩λὼν εἰς τὴν κεφαλὴν Κύκνου κτείνει. ὡς δὲ τοῦτον νεκρὸν εἶδον οἱ βάρβαροι, φεύγουσιν εἰς τὴν πόλιν, οἱ δὲ Ἕλληνες ἐκπηδήσαντες τῶν νεῶν ἐνέπλησαν σωμάτων τὸ πεδίον. καὶ κατακλείσαντες τοὺς Τρῶας ἐπολιόρκουν· ἀνέλκουσι δὲ τὰς ναῦς.
32 μὴ θαρρούντων δὲ τῶν βαρβάρων, Ἀχιλλεὺς ἐνεδρεύσας Τρωίλον ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ φονεύει, καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν πόλιν Λυκάονα λαμβάνει. παραλαβὼν δὲ Ἀχιλλεύς τινας τῶν ἀριστέων τὴν χώραν ἐπόρθει, καὶ παραγίνεται εἰς Ἴδην ἐπὶ τὰς Αἰνείου καὶ Πριάμου βόας. φυγόντος δὲ αὐτοῦ, τοὺς βουκόλους κτείνας καὶ Μήστορα τὸν Πριάμου τὰς βόας ἐλαύνει.
33 αἱρεῖ δὲ καὶ Λέσβον καὶ Φώκαιαν, εἶτα Κολοφῶνα καὶ Σμύρναν καὶ Κλαζομενὰς καὶ Κύμην, μεθ᾿ ἃς Αἰγιαλὸν

2. *προσομίλει* S 11. *προτεσιλάου* S 15. *καταλείσαντες* S, corr. *Büch.*; *καταλύσαντες* *Ker.* 16. *τρῶας* S 18. *τρωΐλον* S 20. *τινὰς* S 21 ss. de Aenea conf. Hom. *Υ* 90 ss., 191 s. 22. *τοῦ Πριάμου* S: *καὶ Πριάμου* restitui, nisi *τοῦ Πριάμου* delere mavis 23. *καὶ Μήστορα* *Ker.*: *καμήστορα* S Mestor memoratur bibl. III 152 (conf. Mus. Rhen. XLVI p. 402, Fleckeis. ann. 1892 p. 249 s.) 24. *φωκέας* S, corr. *Ker.* 25. *κλουζομενὰς* S *αἰγίαλον* S, correxi

καὶ Τῆνον, [τὰς ἑκατὸν καλουμένας πόλεις]· εἶτα ἑξῆς
Ἀδραμύτιον καὶ Σίδην, εἶτα Ἔνδιον καὶ Λιναῖον καὶ
Κολώνην. αἱρεῖ δὲ καὶ Θήβας τὰς Ὑποπλακίας καὶ
Λυρνησσόν, ἔτι δὲ καὶ ⟨Ἀντ⟩ανδρον καὶ ἄλλας πολλάς.
ἐνναετοῦς δὲ χρόνου διελθόντος παραγίνονται τοῖς 34
Τρωσὶ σύμμαχοι· ἐκ τῶν περιοίκων πόλεων Αἰνείας Ἀγ-
χίσου καὶ σὺν αὐτῷ Ἀρχέλοχος καὶ Ἀκάμας Ἀντήνορος
καὶ Θεανοῦς, Δαρδανίων ἡγούμενοι, Θρᾳκῶν Ἀκάμας
Εὐσώρου, Κικόνων Εὔφημος Τροιζήνου, Παιόνων Πυρ-
αίχμης, Παφλαγόνων Πυλαιμένης Βιλσάτου, ἐκ Ζελίας 35
Πάνδαρος Λυκάονος, ἐξ Ἀδραστείας Ἄδραστος καὶ Ἀμ-
φιος Μέροπος, ἐκ δ᾽ Ἀρίσβης Ἄσιος Ὑρτάκου, ἐκ Λαρίσ-
σης Ἱππόθοος †Πελασγοῦ, ἐκ Μυσίας Χρόμιος καὶ Ἔννο-
μος Ἀρσινόου, Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος Μηκιστέως,

1. *Τῆνον*] *Τῆμνον* *Ker.*, an *Τίειον*? (Mus. Rhen. XLVI p. 403) *τὰς — πόλεις* del. *Ker.* coll. Steph. Byz. s. v. *Τῆνος* 2. *Ἀδραμύττιον*? *Σίδην*] *Ἴδην* aut *Σιδήνην* *Ker.*; equidem proposuerim *Σίγην* coll. Steph. Byz.: *Σίγη πόλις Τρῳάδος, ὡς Ἑκαταῖος Ἀσίᾳ* *Λιναῖον*] *Κίλλαιον* *Ker.*, an *Αἰνέαν*? (Strab. XIII p. 603) 3. *Κολώνην*] *Καλλικολώνην* *Ker.*, sed conf. Diod. V 83, 1: *Κύκνου τοῦ βασιλεύσαντος Κολώνης τῆς ἐν τῇ Τρῳάδι* et Strab. XIII p. 604 (*Κολωναί*) *ὑπὸ πλακείας* S, corr. *Ker.* 4. *ἄνδρον* S, corr. *Ker.* 6 ss. catalogi Homerici (*B* 819—877) ordo perturbatus est, nam Zeliae Adrasteae Arisbae Larissae incolae transpositi sunt post Paphlagones, nec non Halizonii et Mysi locos suos immutaverunt 7. *ἀρχέλαος* S, correxi ex Hom. 823 (idem mendum observatur in Iliad. paraphr. p. 666 Bekker) *αὐτήνορος* S, corr. *Ker.* 8. *Ἀκάμας*] Piroum add. Hom. 844 9. *τροιζῆνος* S, correxi ex Hom. 847 *πυραιχάγης* S, corr. *Ker.* 10. *Βισάλτου*? *Ζέλεια* Hom. 824 11. *Ἄδραστος* *Ker.*: *ἄδρας* S 12. *μερόπης* S, corr. *Büch.* 13. *Ἱππόθοος*] Pylaeum add. Hom. 842 †*Πελασγοῦ*] Hippothous erat filius *Λήθοιο Πελασγοῦ Τευταμίδαο* (Hom. 843), quod minus recte intellexit Apollodorus. An scripsit ⟨*Λήθου τοῦ*⟩ *Πελασγοῦ*, ne Pelasgorum mentio (Hom. 840) desideraretur? *ἐννόμιος* S, corr. *Ker.* 14. *ἀλιζόνων ὁ δῖος* S, corr. *Ker.*, nisi quod *Ἁλιζώνων* restituit pro *Ἀλιζώνων* (Hom. 856) *μηκιστεὺς* S, corr. *Büch.*

Φρυγῶν Φόρκυς καὶ Ἀσκάνιος Ἀρετάονος, Μαιόνων Μέσθλης καὶ Ἄντιφος Ταλαιμένους, Καρῶν Νάστης καὶ Ἀμφίμαχος Νομίονος, Λυκίων Σαρπηδὼν Διὸς καὶ Γλαῦκος Ἱππολόχου.

---

4 Ἀχιλλεὺς δὲ μηνίων ἐπὶ τὸν πόλεμον οὐκ ἐξῄει διὰ Βρισηίδα . . . τῆς θυγατρὸς Χρύσου τοῦ ἱερέως. διὸ θαρσήσαντες οἱ βάρβαροι ἐκ τῆς πόλεως προῆλθον. καὶ μονομαχεῖ Ἀλέξανδρος πρὸς Μενέλαον, Ἀλέξανδρον δὲ ἡττώμενον ἁρπάζει Ἀφροδίτη. Πάνδαρος δὲ τοξεύσας Μενέλαον τοὺς ὅρκους ἔλυσεν.

2 (XVIII.) *Ὅτι Διομήδης ἀριστεύων Ἀφροδίτην Αἰνείᾳ βοηθοῦσαν τιτρώσκει, καὶ Γλαύκῳ συστάς, ὑπομνησθεὶς πατρῴας φιλίας, ἀλλάσσει τὰ ὅπλα. προκαλουμένου δὲ Ἕκτορος τὸν ἄριστον εἰς μονομαχίαν, πολλῶν ἐλθόντων Αἴας κληρωσάμενος πυκτεύει· νυκτὸς δὲ ἐπιγενομένης κήρυκες διαλύουσιν αὐτούς.*

προκαλουμένου Ἕκτορος τὸν p. 170,1 ἄριστον εἰς μονομαχίαν, πολλῶν ἐλθόντων Αἴας κληρωσάμενος πυκτεύει· νυκτὸς δὲ ἐπιγενομένης κήρυκες διαλύουσιν αὐτούς.

3 οἱ δὲ Ἕλληνες πρὸ τοῦ ναυστάθμου τεῖχος ποιοῦνται

2. *ἄντυφος πυλαιμένου σκάρων* S, corr. *Ker.* *ἀμφίναχος νομίωνος* S, corr. *Ker.* 3. *γλαῦχος* S, corr. *Ker.* 5. ante *Ἀχιλλεὺς δὲ* leguntur in S verba: *προκαλουμένου Ἕκτορος — διαλύουσιν αὐτούς*, quae suo loco inserui l. 16 ss. 6. ad haec verba confusa Hyg. fab. 106 init. conferre iubet *Büch.* *χρύση* S, corr. *Ker.* 9. *ἡττόμενον* S, corr. *Ker.* 11—22. cum Iliadis librorum *E Z H* argumentis comparavi Epit. Vat. p. 204 s., de reliqua parte confer Mus. Rhen. XLVI p. 416 s. 20. *πυκτεύει* E S: *πρωτεύει* *Herwerdenus* Mnemos. XX p. 199

καὶ τάφρον, καὶ γενομένης μάχης ἐν τῷ πεδίῳ οἱ Τρῶες
τοὺς Ἕλληνας εἰς τὸ τεῖχος διώκουσιν· οἱ δὲ πέμπουσι
πρὸς Ἀχιλλέα πρέσβεις Ὀδυσσέα καὶ Φοίνικα καὶ Αἴαντα,
συμμαχεῖν ἀξιοῦντες καὶ Βρισηίδα καὶ ἄλλα δῶρα ὑπι-
σχνούμενοι. νυκτὸς δὲ ἐπιγενομένης κατασκόπους πέμπου- 4
σιν Ὀδυσσέα καὶ Διομήδην· οἱ δὲ ἀναιροῦσι Δόλωνα τὸν
Εὐμήλου καὶ Ῥῆσον τὸν Θρᾷκα (ὃς πρὸ μιᾶς ἡμέρας
παραγενόμενος Τρωσὶ σύμμαχος οὐ συμβαλὼν ἀπωτέρω
τῆς Τρωικῆς δυνάμεως χωρὶς Ἕκτορος ἐστρατοπέδευσε)
τούς τε περὶ αὐτὸν δώδεκα κοιμωμένους κτείνουσι καὶ
τοὺς ἵππους ἐπὶ τὰς ναῦς ἄγουσι. μεθ' ἡμέραν δὲ ἰσχυ- 5
ρᾶς μάχης γενομένης, τρωθέντων Ἀγαμέμνονος καὶ Διο-
μήδους Ὀδυσσέως Εὐρυπύλου Μαχάονος καὶ τροπῆς τῶν
Ἑλλήνων γενομένης, Ἕκτωρ ῥήξας τὸ τεῖχος εἰσέρχεται
καὶ ἀναχωρήσαντος Αἴαντος πῦρ ἐμβάλλει ταῖς ναυσίν.

ὡς δὲ εἶδεν Ἀχιλλεὺς τὴν Πρωτεσιλάου ναῦν καιομένην, 6
ἐκπέμπει Πάτροκλον καθοπλίσας τοῖς ἰδίοις ὅπλοις μετὰ
τῶν Μυρμιδόνων, δοὺς αὐτῷ τοὺς ἵππους. ἰδόντες δὲ
αὐτὸν οἱ Τρῶες καὶ νομίσαντες Ἀχιλλέα εἶναι εἰς φυγὴν
τρέπονται. καταδιώξας δὲ αὐτοὺς εἰς τὸ τεῖχος πολλοὺς
ἀναιρεῖ, ἐν οἷς καὶ Σαρπηδόνα τὸν Διός, καὶ ὑφ' Ἕκ-
τορος ἀναιρεῖται, τρωθεὶς πρότερον ὑπὸ Εὐφόρβου. μάχης 7
δὲ ἰσχυρᾶς γενομένης περὶ τοῦ νεκροῦ, μόλις Αἴας ἀρι-
στεύσας σώζει τὸ σῶμα. Ἀχιλλεὺς δὲ τὴν ὀργὴν ἀπο-
θέμενος καὶ τὴν Βρισηίδα κομίζεται. καὶ πανοπλίας αὐτῷ
κομισθείσης παρὰ Ἡφαίστου, καθοπλισάμενος ἐπὶ τὸν πό-
λεμον ἐξέρχεται, καὶ συνδιώκει τοὺς Τρῶας ἐπὶ τὸν Σκά-

8. *ἀποτέρω* S, corr. *Ker.* 9. *ἔκτορος* S 10. *αὐτῶν* primo scriptum in *αὐτὸν* correctum est in S 11. *μεθημέραν* S 12. *διομίδους* S 14. *ἔκτωρ* S 25. *βροσηίδα* S 27. *ἐπὶ τὸν* iteratum pallidiore atramento deletum est in S

μανδρον, κἀκεῖ πολλοὺς μὲν ἄλλους ἀναιρεῖ, κτείνει δὲ καὶ Ἀστεροπαῖον τὸν Πηλεγόνος τοῦ Ἀξιοῦ ποταμοῦ·
8 καὶ αὐτῷ λάβρος ὁ ποταμὸς ἐφορμᾷ. καὶ τούτου μὲν p. 171, 1
ὁ Ἥφαιστος τὰ ῥεῖθρα ἀναξηραίνει πολλῇ φλογὶ διώξας, ὁ δ' Ἀχιλλεὺς Ἕκτορα ἐκ μονομαχίας ἀναιρεῖ καὶ ἐξάψας αὐτοῦ τὰ σφυρὰ ἐκ τοῦ ἅρματος σύρων ἐπὶ τὰς ναῦς παραγίνεται. καὶ θάψας Πάτροκλον ἐπ' αὐτῷ ἀγῶνα τίθησιν, ἐν ᾧ νικᾷ ἵπποις Διομήδης, Ἐπειὸς πυγμῇ, Αἴας καὶ Ὀδυσσεὺς πάλῃ. μετὰ δὲ τὸν ἀγῶνα παραγενόμενος Πρίαμος πρὸς Ἀχιλλέα λυτροῦται τὸ Ἕκτορος σῶμα καὶ θάπτει.

---

5 (XIX.) *Ὅτι Πενθεσίλεια, Ὀτρηρῆς καὶ Ἄρεος, ἀκουσίως Ἱππολύτην κτείνασα καὶ ὑπὸ Πριάμου καθαρθεῖσα, μάχης γενομένης πολλοὺς κτείνει, ἐν οἷς καὶ Μαχάονα· εἶθ' ὕστερον θνήσκει ὑπὸ Ἀχιλλέως, ὅστις μετὰ θάνατον ἐρασθεὶς τῆς Ἀμαζόνος κτείνει Θερσίτην λοιδοροῦντα αὐτόν.*

2 *ἦν δὲ Ἱππολύτη ἡ τοῦ Ἱππολύτου μήτηρ, ἡ καὶ Γλαύκη καὶ Μελανίππη. αὕτη γάρ, ἐπιτελουμένων τῶν γάμων Φαίδρας, ἐπιστᾶσα σὺν ὅπλοις ἅμα ταῖς μεθ' ἑαυτῆς Ἀμαζόσιν ἔλεγε κτείνειν τοὺς συνανακειμένους Θησεῖ. μάχης οὖν γενομένης ἀπέθανεν, εἴτε ὑπὸ τῆς συμμάχου Πενθεσιλείας ἀκούσης, εἴτε ὑπὸ Θησέως, εἴτε ὅτι οἱ περὶ Θησέα, τὴν τῶν Ἀμαζόνων ἑωρακότες ἐπιστασίαν, κλείσαντες διὰ τάχους τὰς θύρας καὶ ταύτην ἀπολαβόντες ἐντὸς ἀπέκτειναν.*

2. *τηλεγόνου* S, corr. *Ker.* *ἀξίου* S, corr. *Ker.*
15. *μαχάωνα* E 18—26.] conf. ep. 1, 17. Mus. Rhen. XLVI p. 393 s. 20. *ἅμα* E: *σὺν* S l. l. 25. *καὶ ταύτην . . . ἀπέκτειναν* E: *ἀπέκτειναν αὐτὴν* S l. l.

Quae de Hippolyta leguntur p. 202, 18—26, repetita sunt ex Theseide (ep. 1, 17), ubi ea servavit epitomator Sabbaiticus, qui ex hac Posthomericorum parte pauca tantum eaque mutilata retinuit. Sic enim post verba: *λυτροῦται τὸ Ἕκτορος σῶμα καὶ θάπτει* (p. 202, 10 s.), nullo spatio intermisso, pergit:

καὶ μάχηϲ γενομένηϲ πολλοὺϲ κτείνει, θνήϲκει δ' (1)
Ὀτρηρῆϲ ὑπὸ Ἀχιλλέωϲ.

(XX.) Ὅτι Μέμνονα τὸν Τιθωνοῦ καὶ Ἠοῦς μετὰ πολλῆς Αἰθιόπων δυνάμεως παραγενόμενον ἐν Τροίᾳ καθ' Ἑλλήνων καὶ πολλοὺς τῶν Ἑλλήνων κτείναντα καὶ Ἀντίλοχον κτείνει ὁ Ἀχιλλεύς. διώξας δὲ καὶ τοὺς Τρῶας πρὸς ταῖς Σκαιαῖς πύλαις τοξεύεται ὑπὸ Ἀλεξάνδρου καὶ Ἀπόλλωνος εἰς τὸ σφυρόν. γενομένης δὲ μάχης περὶ τοῦ νεκροῦ, Αἴας Γλαῦκον ἀναιρεῖ, καὶ τὰ ὅπλα δίδωσιν ἐπὶ τὰς ναῦς κομίζειν, τὸ δὲ σῶμα βαστάσας Αἴας βαλλόμενος βέλεσι μέσον τῶν πολε-

3
Μέμνων δὲ ὁ Τιθωνοῦ καὶ Ἠοῦϲ πολλὴν Αἰθιόπων δύναμιν ἀθροίϲαϲ παραγίνεται, καὶ τῶν Ἑλλήνων οὐκ ὀλίγουϲ ἀναιρεῖ, κτείνει καὶ Ἀντίλοχον καὶ αὐτὸϲ θνήϲκει ὑπὸ Ἀχιλλέωϲ. διώξαϲ δὲ τοὺϲ Τρῶαϲ πρὸϲ ταῖϲ Ϲκαιαῖϲ πύλαιϲ ἐτοξεύθη ὑπὸ Ἀλεξάνδρου καὶ Ἀπόλλωνοϲ εἰϲ τὸ ϲφυ-
ρόν. γενομένηϲ δὲ περὶ 4
τοῦ νεκροῦ μάχηϲ, Αἴαϲ Γλαῦκον ἀναιρεῖ, καὶ τὰ ὅπλα δίδωϲιν ἐπὶ τὰϲ ναῦϲ κομίζειν, τὸ δὲ ϲῶμα βαϲτάϲαϲ Αἴαϲ βαλλόμενοϲ βέλεϲι μέϲον τῶν πολε-

2. *Ὀτρηρῆς* Büch.: *ὁ τρι//ῆς*, una littera deficit, superne dinoscitur flexura in S 6 s. *ἐν Τροίᾳ* om. S 11. *καὶ* om. S 12. *τοξεύεται* *E: *ἐτοξεύθη* S 15 s. *μάχης περὶ τοῦ νεκροῦ* E: *περὶ τοῦ νεκροῦ μάχης* S 18. *ὅπλα*] scil. Achillis

μίων διήνεγκεν, Ὀδυσσέως πρὸς τοὺς ἐπιφερομένους μαχομένου.

(XXI.) Ὅτι θάπτουσι τὸν Ἀχιλλέα [ἐν Λευκῇ νήσῳ] μετὰ Πατρόκλου, τὰ ἑκατέρων ὀστᾶ συμμίξαντες. λέγεται δὲ μετὰ θάνατον Ἀχιλλεὺς ἐν Μακάρων νήσοις Μηδείᾳ συνοικεῖν.

6 ἡ δὲ πανοπλία αὐτοῦ τῷ ἀρίστῳ νικητήριον τίθεται, καὶ καταβαίνουσιν εἰς ἅμιλλαν Αἴας καὶ Ὀδυσσεύς.

προκριθέντος δὲ Ὀδυσσέως Αἴας ὑπὸ λύπης ταράττεται καὶ νύκτωρ ἐπιβουλεύεται τῷ στρατεύματι· καὶ ὑπὸ Ἀθηνᾶς μανεὶς εἰς

μίων διήνεγκεν, Ὀδυϲϲέωϲ πρὸϲ τοὺϲ ἐπιφερομένουϲ μαχομένου. — Ἀχιλλέωϲ δὲ ἀποθανόντοϲ ϲυμφορᾶϲ ἐπληρώθη τὸ ϲτράτευμα. θάπτουϲι δὲ αὐτὸν τοῖϲ Πατρόκλου μίξαντεϲ ὀϲτοῖϲ [ἐν Λευκῇ νήϲῳ]· καὶ λέγεται μετὰ θάνατον ἐν Μακάρων νήϲοιϲ αὐτῷ Μήδειαν ϲυνοικεῖν.

τιθέαϲι δὲ ἐπ' αὐτῷ ἀγῶνα, ἐν ᾧ νικᾷ Εὔμηλοϲ ἵπποιϲ, Διομήδηϲ ϲταδίῳ, Αἴαϲ δίϲκῳ, Τεῦκροϲ τόξῳ. τὴν δὲ Ἀχιλλέωϲ πανοπλίαν τιθεῖϲι τῷ ἀρίϲτῳ νικητήριον, καὶ καταβαίνουϲιν εἰϲ ἅμιλλαν Αἴαϲ καὶ Ὀδυϲϲεύϲ, καὶ κρινάντων τῶν Τρώων, ὡϲ δέ τινεϲ τῶν ϲυμμάχων, Ὀδυϲϲεὺϲ προκρίνεται. Αἴαϲ δὲ ὑπὸ λύπηϲ ταραχθεὶϲ ἐπιβουλεύεται νύκτωρ τῷ ϲτρατεύματι, καὶ αὐτῷ μανίαν ἐμβαλοῦϲα Ἀθηνᾶ εἰϲ

5 s. (7 s.) *ἐν Λευκῇ νήσῳ* glossema esse videtur verbis *ἐν Μακάρων νήσοις* adscriptum (conf. Epit. Vat. p. 212 s.); lacunam in S post *ὀστοῖς* indicavit *Büch.* 10. *μίδειαν* S 13. *ἵπποις* S 16. *τίθεισι* S: *τιθεῖσι* *Ker.*, equidem malim *τιθέασι*; an erat ⟨*Θέτις*⟩ *τίθησι*? 16. *ἅμιλλαν* S 22. — p. 205, 6] de Aiace conf. Zenob. I 43 24. *ἐπιβουλεύεται* ES: *ἐπιβουλεύει* *Büch.*

τὰ βοσκήματα ξιφήρης ἐκτρέπεται καὶ ταῦτα κτείνει σὺν τοῖς νέμουσιν ὡς Ἀχαιούς. ὕστερον δὲ σωφρονήσας κτείνει καὶ ἑαυτόν. Ἀγαμέμνων δὲ κωλύει τὸ σῶμα αὐτοῦ καῆναι, καὶ μόνος οὗτος τῶν ἐν Ἰλίῳ ἀποθανόντων ἐν σορῷ κεῖται· ὁ δὲ τάφος ἐστὶν ἐν Ῥοιτείῳ.

ἤδη δὲ ὄντος τοῦ πολέμου δεκαετοῦς ἀθυμοῦσι τοῖς Ἕλλησι Κάλχας θεσπίζει, μὴ ἄλλως ἁλῶναι δύνασθαι Τροίαν, ἢ τὰ Ἡρακλέους ἔχουσι τόξα συμμαχοῦντα. τοῦτο ἀκούσας Ὀδυσσεὺς μετὰ Διομήδους εἰς Λῆμνον ἀφικνεῖται πρὸς Φιλοκτήτην, καὶ δόλῳ ἐγκρατὴς γενό-

τὰ βοσκήματα ἐκτρέπει ξιφήρη· ὁ δὲ ἐκμανεὶς σὺν τοῖς νέμουσι τὰ βοσκήματα ὡς Ἀχαιοὺς φονεύει. καὶ 7
σωφρονήσας ὕστερον ἑαυτὸν κτείνει. Ἀγαμέμνων δὲ κωλύει τὸ σῶμα αὐτοῦ καῆναι, καὶ μόνος οὗτος τῶν ἐν Ἰλίῳ ἀποθανόντων ἐν σορῷ κεῖται· ὁ δὲ τάφος ἐστὶν ἐν Ῥοιτείῳ.

8

Κάλχας θεσπίζει οὐκ ἄλλως ἁλῶναι δύνασθαι Τροίαν, ἂν μὴ τὰ Ἡρακλέους ἔχωσι συμμαχοῦντα τόξα. ταῦτα ἀκούσας Ὀδυσσεὺς μετὰ Διομήδους εἰς Λῆμνον ἀφικνεῖται πρὸς Φιλοκτήτην, καὶ δόλῳ ἐγκρατὴς γενό-

4. ὡς Ἀχαιοὺς φονεύει] *δύο δὲ μεγίστους κριοὺς κατασχὼν ὡς Ἀγαμέμνονα καὶ Μενέλαον δεσμεύσας ἐμάστιξε καὶ κατεγέλα τούτων μαινόμενος* add. Zenob. I 43 (conf. Epit. Vat. p. 214).

---

4. *ἀχεοὺς* S 5 s. *ἑαυτὸν κτείνει* S Zenob.: *κτείνει καὶ ἑαυτὸν* (*καὶ* suprascriptum est) E 8—11.] conf. Iliad. parv. frg. 3 apud Eustath. ad Il. 285, 34 R. (Epit. Vat. p. 214) 11. *ῥυτείῳ* S 15. *οὐκ* *S: *μὴ* E 16 ss. *ἢ . . . ἔχουσι τόξα συμμαχοῦντα* *E: *ἂν μὴ . . . ἔχουσι* (sic cod.) *συμμαχοῦντα τόξα* S 18. *τοῦτο* *S: *ταῦτα* S 19. *διομίδους* S 22. *ἐγκρατῆς* S

μενος τῶν τόξων πείθει πλεῖν αὐτὸν ἐπὶ Τροίαν. ὁ δὲ παραγενόμενος καὶ θεραπευθεὶς ὑπὸ Ποδαλειρίου Ἀλέξανδρον τοξεύει.

9 τούτου δὲ ἀποθανόντος εἰς ἔριν ἔρχονται Ἕλενος καὶ Δηίφοβος ὑπὲρ τῶν Ἑλένης γάμων· προκριθέντος δὲ τοῦ Δηιφόβου Ἕλενος ἀπολιπὼν Τροίαν ἐν Ἴδῃ διετέλει. εἰπόντος δὲ Κάλχαντος Ἕλενον εἰδέναι τοὺς ῥυομένους τὴν πόλιν χρησμούς, ἐνεδρεύσας αὐτὸν Ὀδυσσεὺς καὶ χειρωσάμενος ἐπὶ τὸ στρατόπεδον

10 ἤγαγε· καὶ ἀναγκαζόμενος ὁ Ἕλενος λέγει πῶς ἂν αἱρεθείη ἡ Ἴλιος, [καὶ] πρῶτον μὲν εἰ τὰ Πέλοπος ὀστᾶ κομισθείη παρ' αὐτούς, ἔπειτα εἰ Νεοπτόλεμος συμμαχοίη, τρίτον εἰ τὸ διιπετὲς παλλάδιον ἐκκλαπείη· τούτου γὰρ ἔνδον ὄντος οὐ δύνασθαι τὴν πόλιν ἁλῶναι.

μενος τῶν τόξων πείθει p 172,1 πλεῖν αὐτὸν ἐπὶ Τροίαν. ὁ ·δὲ παραγενόμενος καὶ θεραπευθεὶϲ ὑπὸ Ποδαλειρίου Ἀλέξανδρον τοξεύει. τούτου δὲ ἀποθανόντοϲ εἰϲ ἔριν ἔρχονται Ἕλενοϲ καὶ Δηίφοβοϲ ὑπὲρ τῶν Ἑλένηϲ γάμων. προκριθέντοϲ δὲ τοῦ Δηιφόβου Ἕλενοϲ ἀπολιπὼν Τροίαν ἐν Ἴδῃ διετέλει. εἰπόντοϲ δὲ Κάλχαντοϲ Ἕλενον εἰδέναι τοὺϲ ῥυομένουϲ τὴν πόλιν χρηϲμούϲ, ἐνεδρεύϲαϲ αὐτὸν Ὀδυϲϲεὺϲ καὶ χειρωϲάμενοϲ ἐπὶ τὸ ϲτρατόπεδον ἤγαγε· καὶ ἀναγκαζόμενοϲ ὁ Ἕλενοϲ λέγει πῶϲ ἂν αἱρεθείη τὸ Ἴλιον, πρῶτον μὲν εἰ τὰ Πέλοποϲ ὀϲτᾶ κομιϲθείη παρ' αὐτούϲ, ἔπειτα εἰ Νεοπτόλεμοϲ ϲυμμαχοίη, τρίτον εἰ τὸ διιπετὲϲ παλλάδιον ἐκκλαπείη· τούτου γὰρ ἔνδον ὄντοϲ οὐ δύναϲθαι τὴν πόλιν ἁλῶναι.

7 ss. ἔλενος S
20. ἡ ἴλιος *E: τὸ ἴλιον S καὶ male additum est in E
22. αὐτοῖς E αὐταῖς S, corr. *Büch.*
25. ἐκλαπείη S

τούτων ἀκούσαντες Ἕλληνες τὰ μὲν Πέλοπος ὀστᾶ μετακομίζουσιν, Ὀδυσσέα δὲ καὶ Φοίνικα πρὸς Λυκομήδην πέμπουσιν εἰς Σκῦρον, οἱ δὲ πείθουσι Νεοπτόλεμον προέσθαι. παραγενόμενος δὲ οὗτος εἰς τὸ στρατόπεδον καὶ λαβὼν παρ' ἑκόντος Ὀδυσσέως τὴν τοῦ πατρὸς πανοπλίαν πολλοὺς τῶν Τρώων ἀναιρεῖ. ἀφικνεῖται δὲ ὕστερον Τρωσὶ σύμμαχος Εὐρύπυλος ὁ Τηλέφου πολλὴν Μυσῶν δύναμιν ἄγων· τοῦτον ἀριστεύσαντα Νεοπτόλεμος ἀπέκτεινεν. Ὀδυσσεὺς δὲ μετὰ Διομήδους παραγενόμενος νύκτωρ εἰς τὴν πόλιν Διομήδην μὲν αὐτοῦ μένειν εἶα, αὐτὸς δὲ ἑαυτὸν αἰκισάμενος καὶ πενιχρὰν στολὴν ἐνδυσάμενος ἀγνώστως εἰς τὴν πόλιν εἰσέρχεται ὡς ἐπαί-

ταῦτα ἀκού- 11
ϲαντεϲ τὰ μὲν Πέλοποϲ ὀϲτᾶ
μετακομίζουϲιν, Ὀδυϲϲέα
δὲ καὶ Φοίνικα πρὸϲ
Λυκομήδη πέμπουϲιν εἰϲ
Σκῦρον, οἱ δὲ πείθουϲι
τὸν Νεοπτόλεμον προέϲθαι.
παραγενόμενοϲ δὲ οὗτοϲ
εἰϲ τὸ ϲτρατόπεδον καὶ
λαβὼν παρ' ἑκόντοϲ Ὀδυϲ-
ϲέωϲ τὴν τοῦ πατρὸϲ
πανοπλίαν πολλοὺϲ τῶν
Τρώων ἀναιρεῖ. ἀφικνεῖ- 12
ται δὲ ὕϲτερον Τρωϲὶ ϲύμ-
μαχοϲ Εὐρύπυλοϲ ὁ Τη-
λέφου πολλὴν Μυϲῶν δύ-
ναμιν ἄγων. τοῦτον ἀρι-
ϲτεύϲαντα Νεοπτόλεμοϲ
ἀπέκτεινεν. Ὀδυϲϲεὺϲ δὲ 13
μετὰ Διομήδουϲ παραγε-
νόμενοϲ νύκτωρ εἰϲ τὴν
πόλιν Διομήδην μὲν αὐ-
τοῦ μένειν εἶα, αὐτὸϲ δὲ
αὑτὸν αἰκιϲάμενοϲ καὶ
πενιχρὰν ϲτολὴν ἐνδὺϲ
εἰϲ τὴν πόλιν ἀγνώϲτωϲ
εἰϲέρχεται ὡϲ ἐπαίτηϲ.

1. ταῦτα * S: τούτων E Ἕλληνες om. S 4 s. λυκομήδην E: λυκομίδη S 5. πέμπουσι S 5 s. εἰς σκῦρον E: εἰς κύρον S 7. τὸν om. E; erat fortasse πείθουσιν ⟨αὐ⟩τὸν 16. μϊσῶν S 20. διομίδους S 22. διομίδην S 24. αὐτὸν[a] S 25. ἐνδὺς * S: ἐνδυσάμενος E 26 s. ἀγνώστως εἰς τὴν πόλιν E: εἰς τὴν πόλιν ἀγνώστως S

της. γνωρισθεὶς δὲ ὑπὸ Ἑλένης δι' ἐκείνης τὸ παλλάδιον ἐκκλέψας καὶ πολλοὺς κτείνας τῶν φυλασσόντων ἐπὶ τὰς ναῦς μετὰ Διομήδους κομίζει.

14 *ὕστερον δὲ ἐπινοεῖ δουρείου ἵππου κατασκευὴν καὶ ὑποτίθεται Ἐπειῷ, ὃς ἦν ἀρχιτέκτων· οὗτος ἀπὸ τῆς Ἴδης ξύλα τεμὼν ἵππον κατασκευάζει κοῖλον ἔνδοθεν εἰς τὰς πλευρὰς ἀνεῳγμένον. εἰς τοῦτον Ὀδυσσεὺς εἰσελθεῖν πείθει πεντήκοντα τοὺς ἀρίστους, ὡς δὲ ὁ τὴν μικρὰν γράψας Ἰλιάδα φησί, τρισχιλίους, τοὺς δὲ λοιποὺς γενομένης νυκτὸς ἐμπρήσαντας τὰς σκηνάς, ἀναχθέντας ἐπὶ τὴν Τένεδον ναυλοχεῖν καὶ μετὰ τὴν ἐπιοῦσαν νύκτα καταπλεῖν.*

15 *οἱ δὲ πείθονται καὶ τοὺς μὲν ἀρίστους ἐμβιβάζουσιν*

γνωριϲθεὶϲ δὲ ὑπὸ Ἑλένηϲ δι' ἐκείνηϲ τὸ παλλάδιον ἔκλεψε, καὶ πολλοὺϲ κτείναϲ τῶν φυλαϲϲόντων ἐπὶ τὰϲ ναῦϲ μετὰ Διομήδουϲ κομίζει.

ὕϲτερον δὲ ἐπινοεῖ δουρείου ἵππου καταϲκευὴν καὶ ὑποτίθεται Ἐπειῷ, ὃϲ ἦν ἀρχιτέκτων. οὗτοϲ ἐπὶ τῶν Ἴδηϲ ξύλα τεμὼν ἵππον καταϲκευάζει κοῖλον ἔνδοθεν εἰϲ τὰϲ πλευρὰϲ ἀνεῳγμένον. εἰϲ τοῦτον Ὀδυϲϲεὺϲ εἰϲελθεῖν πείθει πεντήκοντα τοὺϲ ἀρίϲτουϲ, ὡϲ δὲ ὁ τὴν μικρὰν γράψαϲ Ἰλιάδα φηϲί, τριϲχιλίουϲ, τοὺϲ δὲ λοιποὺϲ γενομένηϲ νυκτὸϲ ἐμπρήϲανταϲ τὰϲ ϲκηνάϲ, ἀναχθένταϲ περὶ τὴν Τένεδον ναυλοχεῖν καὶ μετὰ τὴν ἐπιοῦϲαν νύκτα καταπλεῖν.

οἱ δὲ πείθονται καὶ τοὺϲ μὲν ἀρίϲτουϲ ἐμβιβάζουϲιν

1 s. *ὑποελένης* S 3. *ἐκκλέψας* E: *ἔκλεψε* S 6. *διομίδους* S 9. *ἐπειῶ* E 10 s. *ἀπὸ τῆς* *E: *ἐπὶ τῶν* S 18. Iliadis parvae novum fragmentum *τρισχιλίους* ES Tzetz. Lycophr. 930: haud dubie corruptum (conf. Epit. Vat. p. 229 s., Fleckeis. ann. 1892 p. 251) 22. *περὶ* *S: *ἐπὶ* E

εἰς τὸν ἵππον, ἡγεμόνα καταστήσαντες αὐτῶν· Ὀδυσσέα, γράμματα ἐγχαράξαντες τὰ δηλοῦντα τὴν εἰς οἶκον κομιδὴν· Ἕλληνες Ἀθηνᾷ χαριστήριον. αὐτοὶ δὲ ἐμπρήσαντες τὰς σκηνὰς καὶ καταλιπόντες Σίνωνα, ὃς ἔμελλεν αὐτοῖς πυρσὸν ἀνάπτειν, τῆς νυκτὸς ἀνάγονται καὶ περὶ Τένεδον ναυλοχοῦσιν.

ἡμέρας δὲ γενομένης ἔρημον οἱ Τρῶες τὸ τῶν Ἑλλήνων στρατόπεδον θεασάμενοι καὶ νομίσαντες αὐτοὺς πεφευγέναι, περιχαρέντες εἷλκον τὸν ἵππον καὶ παρὰ τοῖς Πριάμου βασιλείοις στήσαντες ἐβουλεύοντο τί χρὴ ποιεῖν. Κασάνδρας δὲ λεγούσης ἔνοπλον ἐν αὐτῷ δύναμιν εἶναι, καὶ προσέτι Λαοκόωντος τοῦ μάντεως, τοῖς μὲν ἐδόκει κατακαίειν, τοῖς δὲ κατὰ βαράθρων ἀφιέναι·

εἰϲ τὸν ἵππον, ἡγεμόνα
καταϲτήϲαντεϲ αὐτῶν·
Ὀδυϲϲέα, γράμματα ἐγχα-
ράξαντεϲ τὰ δηλοῦντα· ‘τῆϲ
εἰϲ οἶκον ἀνακομιδῆϲ Ἕλλη-
νεϲ Ἀθηνᾷ χαριϲτήριον’.
οἱ δὲ ἐμπρήϲαντεϲ τὰϲ
ϲκηνὰϲ καὶ καταλιπόντεϲ
Ϲίνωνα, ὃϲ ἔμελλεν αὐτοῖϲ
πυρϲὸν. ἀνάπτειν τῆϲ νυκ- p.173,1
τόϲ, ἀνάγονται καὶ περὶ
Τένεδον ναυλοχοῦϲιν.
ἡμέραϲ δὲ γενομένηϲ 16
ἔρημον οἱ Τρῶεϲ τὸ τῶν
Ἑλλήνων θεαϲάμενοι ϲτρά-
τευμα καὶ νομίϲαντεϲ
αὐτοὺϲ πεφευγέναι, περι-
χαρέντεϲ εἷλκον τὸν ἵππον
καὶ παρὰ τοῖϲ Πριάμου
βαϲιλείοιϲ ϲτήϲαντεϲ ἐβου-
λεύοντο τί χρὴ ποιεῖν. Κα- 17
ϲάνδραϲ δὲ λεγούϲηϲ ἔνο-
πλον ἐν αὐτῷ δύναμιν
εἶναι, καὶ προϲέτι Λαοκό-
ωντοϲ τοῦ μάντεωϲ, τοῖϲ
μὲν ἐδόκει κατακαίειν, τοῖϲ
δὲ κατὰ βαράθρων ἀφιέναι.

4. *τὰ* suprascriptum in E 4 s. *τῆς ... ἀνακομιδῆς* *S: *τὴν ... κομιδὴν* E 7. *αὐτοὶ* *E: *οἱ* S 11. virgulam non ante, sed post *τῆς νυκτὸς* posuit *Ker.* et *Herwerdenus* Mnemos. XX p. 199, vix recte 15. *στρατόπεδον θεασάμενοι* *E: *θεασάμενοι στράτευμα* S 21. *κανσάνδρας* E 25 ss.] conf. Hom. *θ* 506 ss.

δόξαν δὲ τοῖς πολλοῖς ἵνα αὐτὸν ἐάσωσι θεῖον ἀνάθημα, τραπέντες ἐπὶ θυ-
18 *σίαν εὐωχοῦντο. Ἀπόλλων δὲ αὐτοῖς σημεῖον ἐπιπέμπει· δύο γὰρ δράκοντες διανηξάμενοι διὰ τῆς θαλάσσης ἐκ τῶν πλησίον νήσων τοὺς Λαοκόωντος*
19 *υἱοὺς κατεσθίουσιν. ὡς δὲ ἐγένετο νὺξ καὶ πάντας ὕπνος κατεῖχεν, οἱ ἀπὸ Τενέδου προσέπλεον, καὶ Σίνων αὐτοῖς ἀπὸ τοῦ Ἀχιλλέως τάφου πυρσὸν ἧπτεν. Ἑλένη δὲ ἐλθοῦσα περὶ τὸν ἵππον, μιμουμένη τὰς φωνὰς ἑκάστης τῶν γυναικῶν, τοὺς ἀριστέας ἐκάλει. ὑπακοῦσαι δὲ Ἀντίκλου θέλοντος Ὀδυσσεὺς*
20 *τὸ στόμα κατέσχεν. ὡς δ' ἐνόμισαν κοιμᾶσθαι τοὺς πολεμίους, ἀνοίξαντες σὺν τοῖς ὅπλοις ἐξῄεσαν· καὶ πρῶτος μὲν Ἐχίων Πορθέως ἀφαλλόμενος ἀπέθα-*

δόξαν δὲ τοῖς πολλοῖς ἵνα αὐτὸν ἐάσωσι θεῖον ἀνάθημα, τραπέντες ἐπὶ θυσίαν εὐωχοῦντο. Ἀπόλλων δὲ αὐτοῖς σημεῖον ἐπιπέμπει· δύο γὰρ δράκοντες διανηξάμενοι διὰ τῆς θαλάσσης ἐκ τῶν πλησίον νήσων τοὺς Λαοκόωντος υἱοὺς κατεσθίουσιν. ὡς δὲ ἐγένετο νὺξ καὶ πάντας ὕπνος κατεῖχεν, οἱ ἀπὸ Τενέδου προσέπλεον, καὶ Σίνων αὐτοῖς ἀπὸ τοῦ Ἀχιλλέως τάφου πυρσὸν ἧπτεν. Ἑλένη δὲ ἐλθοῦσα περὶ τὸν ἵππον μιμουμένη τὰς φωνὰς ἑκάστης τῶν γυναικῶν τοὺς ἀριστέας ἐκάλει. ὑπακοῦσαι δὲ Ἀντίκλου θέλοντος Ὀδυσσεὺς τὸ στόμα κατέσχεν. ὡς δὲ ἐνόμισαν κοιμᾶσθαι τοὺς πολεμίους, ἀνοίξαντες σὺν τοῖς ὅπλοις ἐξῄεσαν· καὶ πρῶτος μὲν Ἐχίων Πορθέως ἀφαλλόμενος ἀπέθα-

1. *δόξαν ἵνα* ... structuram asianam esse monet *Büch.*
2. *ἀνάθεμα* S 8. *πλησίων* S 16 ss.] conf. Hom. *δ* 271 ss. cum schol. (Epit. Vat. p. 234 s., Fleckeis. ann. 1892 p. 248 s.)
27. *ἐφαλλόμενος* S

νεν, οἱ δὲ λοιποὶ σειρᾷ ἐξάψαντες ἑαυτοὺς ἐπὶ τὰ τείχη παρεγένοντο καὶ τὰς πύλας ἀνοίξαντες ὑπεδέξαντο τοὺς ἀπὸ Τενέδου καταπλεύσαντας. χωρήσαντες δὲ μεθ' ὅπλων εἰς τὴν πόλιν, εἰς τὰς οἰκίας ἐπερχόμενοι κοιμωμένους ἀνῄρουν. καὶ Νεοπτόλεμος μὲν ἐπὶ τοῦ ἑρκείου Διὸς βωμοῦ καταφεύγοντα Πρίαμον ἀνεῖλεν· Ὀδυσσεὺς δὲ καὶ Μενέλαος Γλαῦκον τὸν Ἀντήνορος εἰς τὴν οἰκίαν φεύγοντα γνωρίσαντες μεθ' ὅπλων θέλοντες ἔσωσαν. Αἰνείας δὲ Ἀγχίσην τὸν πατέρα βαστάσας ἔφυγεν, οἱ δὲ Ἕλληνες αὐτὸν διὰ τὴν εὐσέβειαν εἴασαν. Μενέλαος δὲ Δηίφοβον κτείνας Ἑλένην ἐπὶ τὰς ναῦς ἄγει· ἀπάγουσι δὲ καὶ τὴν Θησέως μητέρα Αἴθραν οἱ Θησέως παῖδες Δημοφῶν καὶ Ἀκάμας· καὶ γὰρ τούτους λέγουσιν εἰς

νεν, οἱ δὲ λοιποὶ cειρᾷ ἐξάψαντες αὑτοὺς ἐπὶ τὰ τείχη παρεγένοντο καὶ τὰς πύλας ἀνοίξαντες ὑπεδέξαντο τοὺς ἀπὸ Τενέδου καταπλεύσαντας. χωρήσαν- 21
τες δὲ μεθ' ὅπλων εἰς τὴν πόλιν, εἰς τὰς οἰκίας ἐπερχόμενοι κοιμωμένους ἀνῄρουν. καὶ Νεοπτόλεμος μὲν ἐπὶ τοῦ ἑρκείου Διὸς βωμοῦ καταφεύγοντα Πρίαμον ἀνεῖλεν.

Μενέλαος δὲ Δηί- 22
φοβον κτείνας Ἑλένην ἐπὶ τὰς ναῦς ἄγει· ἀπάγουσι δὲ καὶ τὴν Θησέως μητέρα Αἴθραν οἱ Θησέως παῖδες.

2. ἑαυτοὺς *E: αὐτοὺς S (corr. *Ker.*) 3 s. τοὺς πύλας E 11 s.] Πρίαμον ἐπὶ τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα Proclus ἑρκείου S 15. ἀγήνορος E, correxi

Τροίαν ἐλθεῖν ὕστερον. Αἴας δὲ ὁ Λοκρὸς Κασάνδραν ὁρῶν περιπεπλεγμένην τῷ ξοάνῳ τῆς Ἀθηνᾶς βιάζεται· διὰ ⟨τοῦ⟩το τὸ ξόανον εἰς οὐρανὸν βλέπειν.

23 *κτείναντες δὲ τοὺς Τρῶας τὴν πόλιν ἐνέπρησαν καὶ τὰ λάφυρα ἐμερίσαντο. καὶ θύσαντες πᾶσι τοῖς θεοῖς Ἀστυάνακτα ἀπὸ τῶν πύργων ἔρριψαν, Πολυξένην δὲ ἐπὶ τῷ Ἀχιλλέως τάφῳ*
24 *κατέσφαξαν. λαμβάνει δὲ Ἀγαμέμνων μὲν κατ' ἐξαίρετον Κασάνδραν, Νεοπτόλεμος δὲ Ἀνδρομάχην, Ὀδυσσεὺς δὲ Ἑκάβην· ὡς δ' ἔνιοι λέγουσιν, Ἕλενος αὐτὴν λαμβάνει, καὶ διακομισθεὶς εἰς Χερρόνησον σὺν αὐτῇ κύνα γενομένην θάπτει, ἔνθα νῦν λέγεται Κυνὸς*
25 *σῆμα. Λαοδίκην μὲν γὰρ κάλλει τῶν Πριάμου θυγατέρων διαφέρουσαν βλεπόντων πάντων γῇ χάσματι ἀπέκρυψε.*

κτείναντεϲ δὲ τοὺϲ Τρῶαϲ τὴν πόλιν ἐνέπρηϲαν καὶ τὰ λάφυρα ἐμερίϲαντο. καὶ θύϲαντεϲ πᾶϲι τοῖϲ θεοῖϲ Ἀϲτυάνακτα ἀπὸ τῶν πύργων ἔρριψαν, Πολυξένην δὲ ἐπὶ τῷ Ἀχιλλέωϲ τάφῳ κατέϲφαξαν. λαμβάνει δὲ Ἀγαμέμνων μὲν κατ' ἐξαίρετον Καϲάνδραν, Νεοπτόλεμοϲ δὲ Ἀνδρόμαχην, Ὀδυϲϲεὺϲ δὲ Ἑκάβην. ὡϲ δὲ ἔνιοι λέγουϲιν, Ἕλενοϲ αὐτὴν λαμβάνει, καὶ διακομιϲθεὶϲ εἰϲ Χερρόνηϲον ϲὺν αὐτῇ κύνα γενομένην θάπτει, ἔνθα νῦν λέγεται Κυνὸϲ ϲῆμα. Λαοδίκην μὲν γὰρ κάλλει τῶν Πριάμου θυγατέρων διαφέρουϲαν βλεπόντων πάντων γῇ χάϲματι ἀπέκρυψεν. ὡϲ δὲ ἔμελλον

5. *διὰ τὸ τὸ* E, correxi 20. *ἔλενος* S 22. *χερόνησον*, *ν* prima manu super *ν* additum in S

τὸν μέντοι Αἴαντα διὰ τὴν ἀσέβειαν κτείνειν ἔμελλον, φεύγοντα δὲ ἐπὶ βωμὸν εἴασαν.

ἀναχθέντες δὲ Διομήδης Νέστωρ καὶ Μενέλαος ἅμα, οἱ μὲν ἀποπλοοῦσιν, ὁ δὲ Μενέλαος χειμῶνι περιπεσών, τῶν λοιπῶν ἀπολομένων σκαφῶν, πέντε ναυσὶν ἐπ᾽ Αἴγυπτον ἀφικνεῖται.

Ἀμφίλοχος δὲ καὶ Κάλ-

ἀποπλεῖν πορθήσαντες Τροίαν, ὑπὸ Κάλχαντος κατείχοντο, μηνίειν Ἀθηνᾶν αὐτοῖς λέγοντος διὰ τὴν Αἴαντος ἀσέβειαν. καὶ τὸν μὲν Αἴαντα κτείνειν ἔμελλον, φεύγοντα δὲ ἐπὶ βωμὸν εἴασαν.

Καὶ μετὰ ταῦτα συνελ- 6
θόντων εἰς ἐκκλησίαν, Ἀγαμέμνων καὶ Μενέλαος ἐφιλονείκουν, Μενελάου λέγοντος ἀποπλεῖν, Ἀγαμέμνονος δὲ ἐπιμένειν κελεύοντος καὶ θύειν Ἀθηνᾷ. Διομήδης μὲν οὖν καὶ Νέστωρ εὐπλο- p. 174, 1
οῦσι, Μενέλαος δὲ μετὰ τούτων ἀναχθεὶς χειμῶνι περιπεσών, τῶν λοιπῶν ἀπολομένων σκαφῶν, πέντε ναυσὶν ἐπ᾽ Αἴγυπτον ἀφικνεῖται.

Ἀμφίλοχος δὲ καὶ Κάλ- 2

9 ss.] conf. Hom. γ 132 ss. 276 ss. (*Robertus*, Bild und Lied p. 247; Epit. Vat. p. 255, Fleckeis. ann. 1892 p. 249) 15. *διομίδης* S 16 s. *εὐπλοοῦσι* *S: *ἀποπλοοῦσι* E 19. *ἀπολλομένων* ES 22. — p. 215, 19.] de Calchante conf. Tzetz. Lycophr. 427, 980, 1047, quem omni fere ex parte cum epitomatore Vaticano consentire memoratu est dignissimum, praeterea Strab. XIV p. 642 s. Tzetzae narrationem ex bibliotheca haustam esse iam perspexerat *Wilamowitzius* Hom. Unters. p. 179 (conf. *O. Immisch*, Klaros, Fleckeis. ann. suppl. XVII p. 160 ss.; Epit. Vat. 257 s., Mus. Rhen. XLVI p. 407 s.)

χας καὶ Λεοντεὺς καὶ Ποδαλείριος καὶ Πολυποίτης ἐν Ἰλίῳ τὰς ναῦς ἀπολιπόντες ἐπὶ Κολοφῶνα πεζῇ πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα τὸν μάντιν· ἦν γὰρ αὐτῷ λόγιον τελευτήσειν, ἐὰν αὐτοῦ σοφωτέρῳ
3 *περιτύχῃ μάντει. ὑποδεχθέντων οὖν ὑπὸ Μόψου μάντεως, ὃς Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπῆρχεν, οὗτος ὁ Μόψος περὶ μαντικῆς ἤρισε Κάλχαντι. καὶ Κάλχαντος ἀνακρίναντος ἐρινεοῦ ἑστώσης 'πόσους ὀλύνθους φέρει;' ὁ Μόψος· 'μυρίους' ἔφη 'καὶ μέδιμνον καὶ ἕνα ὄλυνθον περισσόν·' καὶ εὑρέθησαν οὕτω.*

χας καὶ Λεοντεὺς ἐν Ἰλίῳ τὰς ναῦς ἀπολιπόντες ἐπὶ Κολοφῶνα πεζῇ πορεύονται, κἀκεῖ θάπτουσι Κάλχαντα τὸν μάντιν· ἦν γὰρ αὐτῷ λόγιον τελευτήσειν, ἐὰν ἑαυτοῦ σοφωτέρῳ περιτύχῃ μάντει. ὑποδεχθέντων οὖν ὑπὸ Μόψου μάντεως, ὃς Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπῆρχεν, οὗτος ὁ Μόψος περὶ μαντικῆς ἤρισε Κάλχαντι. καὶ Κάλχαντος ἀνακρίναντος ἐρινεοῦ ἑστώσης 'πόσα ἔχει;' τοῦ δὲ εἰπόντος· 'μύρια καὶ μέτρῳ μέδιμνον καὶ ἓν περισσόν', † καταστήσας Κάλχας μυριάδα εὗρε καὶ μέδιμνον καὶ ἓν πλεονάζον κατὰ τὴν τοῦ Μόψου πρόρρησιν.

1s. *καὶ Ποδαλείριος καὶ Πολυποίτης* om. S De Podalirio v. infra cap. 6, 18; nostro loco eius nomen, cuius mentio Leonteum a Polypoete incommode separat, fortasse interpolatum est (conf. Epit. Vat. p. 259 et *Wilamowitzium* Isyll. p. 50)
2s. *ἐπικολοφῶνα* S 5. *μάντην* S 8. *ἑαυτοῦ* *S: *αὐτοῦ* E
16. *ἑστώσης* E S Tzetz.: *ἑστῶτος* *Herwerdenus* Mnemos. XX p. 200
18. *μέτρῳ* add. S., om. E Tzetz.; conf. Melampodiae frg. 188 Rz. (Strab. l. l.): *μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος, εἷς δὲ περισσεύει* 19. † *καταστήσας* S: *κατασείσας* (scil. *τὸν ἐρινεόν*) *Herwerdenus* Mnemos. XX p. 200; malim *καταπλήσας* (scil. *τὸ μέτρον*)

Μόψος δὲ συὸς οὔσης ἐπιτόκου ἠρώτα, πόσους κατὰ γαστρὸς ἔχει καὶ πότε τέκοι· τοῦ δὲ μηδὲν εἰπόντος αὐτὸς ἔφη δέκα χοίρους ἔχειν καὶ τὸν ἕνα τούτων ἄρρενα, τέξεσθαι δὲ αὔριον. ὧν γενομένων Κάλχας ἀθυμήσας τελευτᾷ.

4 Μόψος δὲ συὸς οὔσης ἐπιτόκου ἠρώτα Κάλχαντα, πόσους χοίρους κατὰ γαστρὸς ἔχει, τοῦ δὲ εἰπόντος· ʽὀκτώʼ, μειδιάσας ὁ Μόψος ἔφη· ʽΚάλχας τῆς ἀκριβοῦς μαντείας ἀπεναντίας διάκειται, ἐγὼ δ' Ἀπόλλωνος καὶ Μαντοῦς παῖς ὑπάρχων τῆς ἀκριβοῦς μαντείας τὴν ὀξυδορκίαν πάντως πλουτῶ, καὶ οὐχ ὡς ὁ Κάλχας ὀκτώ, ἀλλ' ἐννέα κατὰ γαστρός, καὶ τούτους ἄρρενας ὅλους ἔχειν μαντεύομαι, καὶ αὔριον ἀνυπερθέτως ἐν ἕκτῃ ὥρᾳ τεχθήσεσθαι.ʼ τούτων γοῦν γενομένων Κάλχας ἀθυμήσας ἀπέθανε καὶ ἐτάφη ἐν Νοτίῳ.

19. Supplementum petendum est ex Tzetz. Lycophr. 980: ... *Κάλχας ἀθυμήσας τελευτᾷ. Πολυποίτης δὲ καὶ Λεοντεὺς μετὰ τὸ θάψαι αὐτὸν μετ' ὀλίγον εἰς Ἑλλάδα ἀνεχώρησαν*, vel ad 1047: *θάψαντες δὲ ἐκεῖ τὸν Κάλχαντα ... Πολυποίτης καὶ Λεοντεὺς μετ' ὀλίγον εἰς Ἑλλάδα διεσώθησαν.*

1 s. *ἐπιτόκου* E: *ἐπὶ τόκου* S Tzetz. 2. *ἠρώτα* E S: *ἠρώτησε* Tzetz. 427, *ἤρετο* Tzetz. 980 *Κάλχαντα* Tzetz. 427 *Κάλχαντι.* S, om. E Tzetz. 980 3. *χοίρους* add. S Tzetz. 980 3 s. *ἔχει* E Tzetz. 427 980, *εἶναι* S (corr. *Büch.*) *καὶ πότε τέκοι* male om. S *τέκοι* E: *τέκῃ* Tzetz. 427 *τέξεται* Tzetz. 980 5. *μειδιάσας* in ras. S 5 ss. nota dissensionem harum narrationum, quae in bibliotheca haud dubie olim coniunctae inde in alterutram epitomam derivatae sunt (v. praefat.) 10. *ὀξυδορκίαν* S (conf. *Lobeck.* Phryn. p. 576): *ὀξυδερκίαν* ediderat *Ker.* 18. *ἀθυμίσας* S

5 [conf. c. 6, 12]

Ἀγαμέμνων δὲ θύcac ἀνάγεται καὶ Τενέδῳ προcίcχει, Νεοπτόλεμον δὲ πείθει Θέτις ἀφικομένη ἐπιμεῖναι δύο ἡμέρας καὶ θυcιάcαι, καὶ ἐπιμένει. οἱ δὲ ἀνάγονται καὶ περὶ Τῆνον χειμάζονται. Ἀθηνᾶ γὰρ ἐδεήθη Διὸς τοῖς Ἕλληcι χειμῶνα ἐπιπέμψαι. καὶ πολλαὶ νῆες βυθίζονται.

6 (XXII.) *Ὅτι Ἀθηνᾶ ἐπὶ τὴν Αἴαντος ναῦν κεραυνὸν βάλλει, ὁ δὲ τῆς νεὼς διαλυθείσης ἐπί τινα πέτραν διασωθεὶς παρὰ τὴν θεοῦ ἔφη πρόνοιαν σεσῶσθαι. Ποσειδῶν δὲ τριαίνῃ πλήξας τὴν πέτραν ἔσχισεν· ὁ δὲ πεσὼν εἰς τὴν θάλασσαν τελευτᾷ, καὶ ἐκβρασθέντα θάπτει Θέτις ἐν Μυκόνῳ.*

Ἀθηνᾶ δὲ ἐπὶ τὴν Αἴαντος ναῦν κεραυνὸν βάλλει, ὁ δὲ τῆς νεὼς διαλυθείσης ἐπί τινα πέτραν διασωθεὶς παρὰ τὴν θεοῦ ἔφη πρόνοιαν σεσῶσθαι. Ποσειδῶν δὲ πλήξας τῇ τριαίνῃ τὴν πέτραν ἔσχισεν, ὁ δὲ πεσὼν εἰς τὴν θάλασσαν τελευτᾷ, καὶ ἐκβρασθέντα θάπτει Θέτις ἐν Μυκόνῳ.

7 *τῶν δὲ ἄλλων Εὐβοίᾳ προσφερομένων νυκτὸς Ναύπλιος ἐπὶ τοῦ Καφηρέως ὄρους πυρσὸν ἀνάπτει· οἱ δὲ νομίσαντες εἶναί τινας τῶν σεσωσμέ-*

τῶν δὲ ἄλλων Εὐβοίᾳ προσφερομένων νυκτὸς Ναύπλιος ἐπὶ τοῦ Καφηρέως ὄρους τῆς Εὐβοίας πυρσὸν ἀνάπτει· οἱ δὲ νομίσαντες εἶναί τινας τῶν σεσωσμέ-

16. *παρὰ* *S: *οὐ παρὰ* E (conf. schol. Hom. *N* 66) 18. *ποσιδὼν* S 27. *τῆς Εὐβοίας* add. S 29. *εἶναι τινὰς* ES

νων προσπλέουσι, καὶ περὶ τὰς Καφηρίδας πέτρας θραύεται τὰ σκάφη καὶ πολλοὶ τελευτῶσιν.

νων προσπλέουσι, καὶ περὶ τὰς Καφηρίδας πέτρας θραύεται τὰ σκάφη καὶ πόλλοὶ τελευτῶσιν.

ὁ γὰρ αὐτοῦ τοῦ Ναυπλίου καὶ Κλυμένης τῆς 8
Κατρέως υἱὸς Παλαμήδης ἐπιβουλαῖς Ὀδυσσέως λιθο-
βοληθεὶς ἀναιρεῖται. τοῦτο μαθὼν Ναύπλιος ἔπλευσε
πρὸς τοὺς Ἕλληνας καὶ τὴν τοῦ παιδὸς ἀπῄτει ποινήν·
ἄπρακτος δὲ ὑποστρέψας, ὡς πάντων χαριζομένων τῷ 9
βασιλεῖ Ἀγαμέμνονι, μεθ' οὗ τὸν Παλαμήδην ἀνεῖλεν
Ὀδυσσεύς, παραπλέων τὰς χώρας τὰς Ἑλληνίδας παρ-
εσκεύασε τὰς τῶν Ἑλλήνων γυναῖκας μοιχευθῆναι,
Κλυταιμνήστραν Αἰγίσθῳ, Αἰγιάλειαν τῷ Σθενέλου
Κομήτῃ, τὴν Ἰδομενέως Μήδαν ὑπὸ Λεύκου· ἣν καὶ 10
ἀνεῖλε Λεῦκος ἅμα Κλεισιθύρᾳ τῇ θυγατρὶ ταύτης ἐν
τῷ ναῷ προσφυγούσῃ, καὶ δέκα πόλεις ἀποσπάσας τῆς
Κρήτης ἐτυράννησε· καὶ μετὰ τὸν Τρωικὸν πόλεμον
καὶ τὸν Ἰδομενέα κατάραντα τῇ Κρήτῃ ἐξήλασε. ταῦτα 11
πρότερον κατασκευάσας ὁ Ναύπλιος, ὕστερον μαθὼν
τὴν εἰς τὰς πατρίδας τῶν Ἑλλήνων ἐπάνοδον, τὸν εἰς

13. Supplementa quae inveniuntur Tzetz. Lycophr. 384: *Κλυταιμνήστραν τὴν τοῦ Ἀγαμέμνονος* et *Αἰγιάλειαν τὴν Διομήδους* a codicibus suis abesse monet *Chr. G. Müllerus*.
14. *Λεῦκον τὸν τοῦ Τάλω* (*Ταντάλου* Vitt. 2 et 3) Tzetz. Lycophr. 1093 (*Τάλωος* Tzetz. Chil. III 296).

---

5. — p. 218, 3.] de Nauplio conf. schol. **Marc.** et **Tzetz. Lycophr. 384** et 1093 et schol. Eurip. Or. 432 (Epit. Vat. p. 263 ss., Fleckeis. ann. 1892 p. 244) 5. aut *αὐτοῦ* aut *τοῦ Ναυπλίου* delendum est 15. *Κλεισιθύρᾳ* E (conf. *G. Hermanni* Opusc. V p. 251): *Κλεισιθήρα* Lycophr. 1222, Tzetz. Lycophr. 384 Chil. III 294 15 s. *ἐν τῷ ναῷ*] 'fortasse Apollodorus addiderat, in cuius dei templo hoc acciderit; sin minus, vitiosus est articulus' *Herwerdenus* Mnemos. XX p. 199 18. *τῇ Κρήτῃ καταίροντα* Tzetz. 384

τὸν Καφηρέα, νῦν δὲ Ξυλοφάγον λεγόμενον, ἀνῆψε φρυκτόν· ἔνθα προσπελάσαντες Ἕλληνες ἐν τῷ δοκεῖν λιμένα εἶναι διεφθάρησαν.

12 *Νεοπτόλεμος δὲ μείνας ἐν Τενέδῳ δύο ἡμέρας ὑποθήκαις τῆς Θέτιδος εἰς Μολοσσοὺς πεζῇ ἀπῄει μετὰ Ἑλένου, καὶ παρὰ τὴν ὁδὸν ἀποθανόντα Φοίνικα θάπτει, καὶ νικήσας μάχῃ Μολοσσοὺς βασιλεύει, καὶ ἐξ Ἀνδρο-*
13 *μάχης γεννᾷ Μολοσσόν. Ἕλενος δὲ κτίσας ἐν τῇ Μολοσσίᾳ πόλιν κατοικεῖ, καὶ δίδωσιν αὐτῷ Νεοπτόλεμος εἰς γυναῖκα τὴν μητέρα Δηιδάμειαν. Πηλέως δὲ ἐκ Φθίας ἐκβληθέντος ὑπὸ τῶν Ἀκάστου παίδων καὶ ἀποθανόντος, Νεοπτόλεμος τὴν βασιλείαν τοῦ πατρὸς*
14 *παρέλαβε. καὶ μανέντος Ὀρέστου ἁρπάζει τὴν ἐκείνου γυναῖκα Ἑρμιόνην κατηγγυημένην αὐτῷ πρότερον ἐν Τροίᾳ, καὶ διὰ τοῦτο ἐν Δελφοῖς ὑπὸ Ὀρέστου κτείνεται. ἔνιοι δὲ αὐτόν φασι παραγενόμενον εἰς Δελφοὺς ἀπαιτεῖν ὑπὲρ τοῦ πατρὸς τὸν Ἀπόλλωνα δίκας καὶ συλᾶν τὰ ἀναθήματα καὶ τὸν νεὼν ἐμπιμπράναι, καὶ διὰ τοῦτο ὑπὸ Μαχαιρέως τοῦ Φωκέως ἀναιρεθῆναι.*

15 (XXIII.) *Ὅτι πλανηθέντες Ἕλληνες ἄλλοι ἀλλαχοῦ κατάραντες κατοικοῦσιν, οἱ μὲν εἰς Λιβύην, οἱ δὲ εἰς Ἰταλίαν, εἰς Σικελίαν ἕτεροι, τινὲς δὲ πρὸς τὰς πλη-*

τῶν δὲ ναυαγησάντων περὶ τὸν Καφηρέα ἄλλος ἀλλαχῇ φέρεται, Γουνεὺς μὲν εἰς Λιβύην, Ἄντιφος δὲ ὁ Θεσσαλοῦ εἰς Πελασγοὺς καὶ ⟨τὴν⟩ χώραν κατα-

2. *προσπελάσαντες* E *προσεπέλασαν* schol. 384: *προσπλεύσαντες* Tzetz. 384 4 s.] v. supra cap. 6, 5 4. *δύο ἡμέρας* ES: *μετὰ ἑπτὰ* (*δύο* Vitt. 2 et 3) *ἡμέρας* Tzetz. Lycophr. 902 9 s. *δίδωσιν εἰς γυναῖκα*] conf. cap. 2, 4: *ἐλάμβανεν εἰς γυναῖκα* 18. *ἐμπιμπρᾶναι* E 19. *βαχαιρέως* E, correxi 21. *κηφέα* S, corr. *Ker.* 24. *θεσσάλου* S, correxi 25. *τινές δε* E *τὴν* addidi ex Tzetz. 911

σίον Ἰβηρίας νήσους, ἄλλοι παρὰ τὸν Σαγγάριον ποταμόν· εἰσὶ δὲ οἳ καὶ Κύπρον ᾤκησαν..

ϲχὼν Θεϲϲαλίαν ἐκάλεϲεν,
ὁ δὲ Φιλοκτήτηϲ πρὸϲ Ἰτα-
λίαν εἰϲ Καμπανούϲ, Φεί-
διπποϲ μετὰ τῶν Κῴων ἐν
Ἄνδρῳ κατῴκηϲεν, Ἀγαπή- p. 175, 1
νωρ ἐν Κύπρῳ, καὶ ἄλλοϲ
ἀλλαχοῦ.

* * *

Tzetzes uberiora fragmenta ex hac bibliothecae parte servavit in commentariis ad Lycophronis versus:

902: *Ἀπολλόδωρος δὲ καὶ οἱ λοιποὶ οὕτω φασί·* 15a
Γουνεὺς εἰς Λιβύην λιπὼν τὰς ἑαυτοῦ ναῦς ἐλθὼν ἐπὶ Κίνυπα ποταμὸν κατοικεῖ. Μέγης δὲ καὶ Πρόθοος ἐν Εὐβοίᾳ περὶ τὸν Καφηρέα σὺν πολλοῖς ἑτέροις διαφθείρεται ... τοῦ δὲ Προθόου περὶ τὸν Καφηρέα ναυαγήσαντος, οἱ σὺν αὐτῷ Μάγνητες εἰς Κρήτην ῥιφέντες ᾤκησαν.

911: *μετὰ δὲ τὴν Ἰλίου πόρθησιν Μενεσθεὺς Φεί-* 15b
διππός τε καὶ Ἄντιφος καὶ οἱ Ἐλεφήνορος καὶ Φιλοκτήτης μέχρι Μίμαντος κοινῇ ἔπλευσαν. εἶτα Μενεσθεὺς μὲν εἰς Μῆλον ἐλθὼν βασιλεύει, τοῦ ἐκεῖ βασιλέως Πολυάνακτος τελευτήσαντος. Ἄντιφος δὲ ὁ Θεσσαλοῦ εἰς Πελασγοὺς ἐλθὼν καὶ τὴν χώραν κατασχὼν Θεσσαλίαν ἐκάλεσε. Φείδιππος δὲ μετὰ Κῴων ἐξωσθεὶς περὶ τὴν Ἄνδρον, εἶτα περὶ Κύπρον ἐκεῖ κατῴκησεν.

10. *Κίνυφα* Tzetz., correxi *Μέγης* *R. Stiehle* Philol. VIII p. 68: *μέγας* vel *μάγνητες* Tzetz. codd. 12. post *διαφθείρεται* omisi, quae de Neoptolemo ex ep. 6, 12 repetiit Tzetzes 22. *περὶ τὸν ἀδρίαν* Tzetz., correxi Mus. Rhen. XLVI p. 410 *εἶτα περὶ Κύπρον* aut Tzetzes addidit, aut epitomator Sabbaiticus neglexit

Ἐλεφήνορος δὲ ἀποθανόντος ἐν Τροίᾳ, οἱ σὺν αὐτῷ ἐκριφέντες περὶ τὸν Ἰόνιον κόλπον Ἀπολλωνίαν ᾤκησαν τὴν ἐν Ἠπείρῳ. καὶ οἱ τοῦ Τληπολέμου προσίσχουσι Κρήτῃ, εἶτα ὑπ' ἀνέμων ἐξωσθέντες περὶ τὰς Ἰβηρικὰς νήσους ᾤκησαν. . . . οἱ τοῦ Πρωτεσιλάου ἀπερρίφησαν πλησίον πεδίου Καναστρου. Φιλοκτήτης δὲ ἐξώσθη εἰς Ἰταλίαν πρὸς Καμπανοὺς καὶ πολεμήσας Λευκανοὺς πλησίον Κρότωνος καὶ Θουρίου Κρίμισσαν κατοικεῖ· καὶ παυθεὶς τῆς ἄλης Ἀλαίου Ἀπόλλωνος ἱερὸν κτίζει, ᾧ καὶ τὸ τόξον αὐτοῦ ἀνέθηκεν, ὥς φησιν Εὐφορίων.

15c 921: *Ναύαιθος*] *ποταμός ἐστιν Ἰταλίας· ἐκλήθη δὲ οὕτω κατὰ μὲν Ἀπολλόδωρον καὶ τοὺς λοιπούς, ὅτι μετὰ τὴν Ἰλίου ἅλωσιν αἱ Λαομέδοντος θυγατέρες Αἴθυλλα Ἀστυόχη Μηδεσικάστη μετὰ τῶν λοιπῶν αἰχμαλωτίδων ἐκεῖσε γεγονυῖαι τῆς Ἰταλίας, εὐλαβούμεναι τὴν ἐν τῇ Ἑλλάδι δουλείαν τὰ σκάφη ἐνέπρησαν, ὅθεν ὁ ποταμὸς Ναύαιθος ἐκλήθη καὶ αἱ γυναῖκες Ναυπρήστιδες· οἱ δὲ σὺν αὐταῖς Ἕλληνες ἀπολέσαντες τὰ σκάφη ἐκεῖ κατῴκησαν.*

Quae praeterea de Diomedis, Teucri, Schedii Epistrophique comitum erroribus non sine magna dubitatione bibliothecae restitueram ex Tzetzae adnotationibus in vv. 603, 450, 1067 (Epit. Vat. p. 73 et 284 ss.), nunc stare

5. post *ᾤκησαν* omisi, quae de Tlepolemi uxore 'in Pindari historiis' se invenisse affirmat Tzetzes 9 ss. *καὶ παυθεὶς — Εὐφορίων* fortasse a Tzetza addita sunt 12 ss.] Laomedontis filiae enumerantur bibl. III 146 *Ἡσιόνη Κίλλα Ἀστυόχη*; sed haud raro inter se differunt, quae de eadem re ex diversis fontibus recepit bibliothecae auctor. Quamobrem non recurrerim ad Apollodori qui vere vocatur doctissimum opus de navium catalogo (Epit. Vat. p. 281)

vix possunt, cum ei tantum in rationem vocandi esse videantur, qui ex Capharea tempestate servati erant.

* *
*

Δημοφῶν δὲ Θρᾳξὶ Βισάλταις μετ' ὀλίγων νεῶν 16
προσίσχει, καὶ αὐτοῦ ἐρασθεῖσα Φυλλὶς ἡ θυγάτηρ τοῦ βασιλέως ἐπὶ προικὶ τῇ βασιλείᾳ συνευνάζεται ὑπὸ τοῦ πατρός. ὁ δὲ βουλόμενος εἰς τὴν πατρίδα ἀπιέναι, πολλὰ δεηθεὶς ὀμόσας ἀναστρέψειν ἀπέρχεται· καὶ Φυλλὶς αὐτὸν ἄχρι τῶν Ἐννέα ὁδῶν λεγομένων προπέμπει καὶ δίδωσιν αὐτῷ κίστην, εἰποῦσα ἱερὸν ⟨τῆς⟩ μητρὸς Ῥέας ἐνεῖναι, καὶ ταύτην μὴ ἀνοίγειν, εἰ μὴ ὅταν
ἀπελπίσῃ τῆς πρὸς αὐτὴν ἀνόδου. Δημοφῶν δὲ ἐλθὼν 17
εἰς Κύπρον ἐκεῖ κατῴκει. καὶ τοῦ τακτοῦ χρόνου διελθόντος Φυλλὶς ἀρὰς θεμένη κατὰ Δημοφῶντος ἑαυτὴν ἀναιρεῖ· Δημοφῶν δὲ τὴν κίστην ἀνοίξας φόβῳ κατασχεθεὶς ἄνεισιν ἐπὶ τὸν ἵππον καὶ τοῦτον ἐλαύνων ἀτάκτως ἀπόλλυται· τοῦ γὰρ ἵππου σφαλέντος κατενεχθεὶς ἐπὶ τὸ ξίφος ἔπεσεν. οἱ δὲ σὺν αὐτῷ κατῴκησαν ἐν Κύπρῳ.

Ποδαλείριος δὲ ἀφικόμενος εἰς Δελφοὺς ἐχρᾶτο 18
ποῦ κατοικήσει· χρησμοῦ δὲ δοθέντος, εἰς ἣν πόλιν

1—16.] de Acamante eadem narrat **Tzetz. Lycophr. 495** 1. *ὀλίγαις ναυσὶ* Tzetz. 2. *τοῦ*] *ἐκεῖ* add. Tzetz. 3. *συνευνάζεται* male repetitum in E del. man. 2 5. *δεηθεὶς*] *παρὰ Φυλλίδος καὶ τῶν ἐκείνης* add. Tzetz. *ἐξέρχεται* Tzetz. 6. *Ἐννέα ὁδῶν* ex Tzetza restitui: *ἐννεάδων* E 7. *κίστην* E: *κιβώτιον* Tzetz. 7 s. *ἱερὸν εἶναι τῆς μητρὸς Ῥέας* Tzetz. 7. *τῆς* addidi 9. *τὴν . . . ἄνοδον* Tzetz. 12. *τὴν κίστην* E: *τὸ κιβώτιον* Tzetz. *φόβῳ κατασχεθεὶς* E: *φάσματι κρατηθεὶς* Tzetz. 14. *σφαλέντος*] *ἐκ τῶν ὀπισθίων μερῶν* add. Tzetz. 15. *ἐπὶ τὸ ξίφος ἔπεσεν*] *τῷ ἑαυτοῦ ἐμπήγνυται ξίφει* Tzetz. 17.—p. 222, 3.] de Podalirio conf. **Tzetz. Lycophr. 1047** 18 s. *οἰκῆσαι πόλιν, οὗ περιέχοντος οὐρανόῦ οὐδὲν δεινὸν πείσεται* confuse Tzetz.

τοῦ περιέχοντος οὐρανοῦ πεσόντος οὐδὲν πείσεται, τῆς Καρικῆς Χερρονήσου τὸν πέριξ οὐρανοῦ κυκλούμενον ὄρεσι τόπον κατῴκησεν.

19 *Ἀμφίλοχος δὲ ὁ Ἀλκμαίωνος, κατά τινας ὕστερον*
παραγενόμενος εἰς Τροίαν, κατὰ [τὸν] χειμῶνα ἀπερ-
ρίφη πρὸς Μόψον, καί, ὥς τινες λέγουσιν, ὑπὲρ τῆς
βασιλείας μονομαχοῦντες ἔκτειναν ἀλλήλους.

20 *Λοκροὶ δὲ μόλις τὴν ἑαυτῶν καταλαβόντες, ἐπεὶ*
μετὰ τρίτον ἔτος τὴν Λοκρίδα κατέσχε φθορά, δέχονται
χρησμὸν ἐξιλάσασθαι τὴν ἐν Ἰλίῳ Ἀθηνᾶν καὶ δύο παρ-
θένους πέμπειν ἱκέτιδας ἐπὶ ἔτη χίλια. καὶ λαγχάνουσι
21 *πρῶται Περίβοια καὶ Κλεοπάτρα. αὗται δὲ εἰς Τροίαν*
ἀφικόμεναι, διωκόμεναι παρὰ τῶν ἐγχωρίων εἰς τὸ
ἱερὸν κατέρχονται· καὶ τῇ μὲν θεᾷ οὐ προσήρχοντο, τὸ
δὲ ἱερὸν ἔσαιρόν τε καὶ ἔρραινον· ἐκτὸς δὲ τοῦ νεὼ
οὐκ ἐξῄεσαν, κεκαρμέναι δὲ ἦσαν καὶ μονοχίτωνες καὶ
22 *ἀνυπόδετοι. τῶν δὲ πρώτων ἀποθανουσῶν ἄλλας ἔπεμ-*
πον· εἰσῄεσαν δὲ εἰς τὴν πόλιν νύκτωρ, ἵνα μὴ φα-
νεῖσαι τοῦ τεμένους ἔξω φονευθῶσι· μετέπειτα δὲ βρέφη
μετὰ τροφῶν ἔπεμπον. χιλίων δὲ ἐτῶν παρελθόντων
μετὰ τὸν Φωκικὸν πόλεμον ἱκέτιδας ἐπαύσαντο πέμ-
ποντες.

8. *Αἴαντος τοῦ Λοκροῦ περὶ τὰς Γυραίας ναυαγήσαντος [καὶ ταφέντος ἐν Τρέμοντι χωρίῳ τῆς Δήλου] οἱ Λοκροὶ μόλις σωθέντες* . . . Tzetz. Lycophr. 1141 (uncis inclusa Tzetzes addidit ex Lycophr. v. 402). — 22. *πέμποντες*] *ὥς φησι Τίμαιος ὁ Σικελός* add. Tzetz. (Tim. frg. 66 M.)

---

1. *οὐδὲν*] *δεινὸν* fortasse ex Tzetza addendum est 2. *καρικης* E 4—22. repetiit **Tzetz. Lycophr. 440** (*ἄλλοι δέ φασιν, ὡς καὶ Ἀπολλόδωρος*) 4. *κατὰ τινας* E 5. *τὸν* bene om. Tzetz. 7. *ἀλλήλους ἀπέκτειναν* Tzetz. 8—22. adhibuit **Tzetz. Lycophr. 1141** 9. *Λοκρίδα* ex Tzetza restitui: *λοκρίαν* E 10. *ἱλάσκεσθαι* Tzetz. 15. *ἔσαιρον* ex Tzetza restitui: *ἔσηρον* E

Ἀγαμέμνων δὲ καταντήσας εἰς Μυκήνας μετὰ Κασάνδρας ἀναιρεῖται ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας· δίδωσι γὰρ αὐτῷ χιτῶνα ἄχειρα καὶ ἀτράχηλον, καὶ τοῦτον ἐνδυόμενος φονεύεται, καὶ βασιλεύει Μυκηνῶν Αἴγισθος· κτείνουσι δὲ καὶ Κασάνδραν. Ἠλέκτρα δὲ μία τῶν Ἀγαμέμνονος θυγατέρων Ὀρέστην τὸν ἀδελφὸν ἐκκλέπτει καὶ δίδωσι Στροφίῳ Φωκεῖ τρέφειν, ὁ δὲ αὐτὸν ἐκτρέφει μετὰ Πυλάδου παιδὸς ἰδίου. τελειωθεὶς δὲ Ὀρέστης εἰς Δελφοὺς παραγίνεται κἀκεῖ ἐρωτᾷ, εἰ τοὺς αὐτόχειρας τοῦ πατρὸς μετέλθοι. τοῦτο δ' ἐπιτραπεὶς ἀπέρχεται ⟨εἰς⟩ Μυκήνας μετὰ Πυλάδου λαθραίως καὶ κτείνει τήν τε μητέρα καὶ τὸν

Ἀγαμέμνων δὲ καταν- 23
τήσας εἰς Μυκήνας μετὰ p. 175, 2
Κασάνδρας ἀναιρεῖται ὑπὸ
Αἰγίσθου καὶ Κλυταιμνή-
στρας· δίδωσι γὰρ αὐτῷ
χιτῶνα ἄχειρα καὶ ἀτρά-
χηλον, καὶ τοῦτον ἐνδυόμε-
νος φονεύεται, καὶ βασι-
λεύει Μυκηνῶν· Αἴγισθος·
κτείνουσι δὲ καὶ Κασάν-
δραν. Ἠλέκτρα δὲ μία 24
τῶν Ἀγαμέμνονος θυγατέ-
ρων Ὀρέστην τὸν ἀδελφὸν
ἐκκλέπτει καὶ δίδωσι Φωκεῖ
Στροφίῳ τρέφειν, ὁ δὲ
αὐτὸν ἐκτρέφει μετὰ Πυ-
λάδου παιδὸς ἰδίου. τε-
λειωθεὶς δὲ Ὀρέστης εἰς
Δελφοὺς παραγίνεται καὶ
τὸν θεὸν ἐρωτᾷ, εἰ τοὺς
αὐτόχειρας τοῦ πατρὸς μετ- 25
έλθοι. τοῦ θεοῦ ἐπιτρέ-
ποντος ἀπερχόμενος εἰς
Μυκήνας μετὰ Πυλάδου λα-
θραίως τόν τε Αἴγισθον καὶ

9. *αἴγισθος* in ras. E 14 s. *Στροφίῳ Φωκεῖ* E: *Φωκεῖ Στροφίῳ* S 19 s. *κἀκεῖ ἐρωτᾷ* E: *καὶ τὸν θεὸν ἐρωτᾷ* S 21. *μετέλθοι* ES: *μετέλθῃ* Büch. 21 s. *τοῦτο δὲ ἐπιτραπεὶς* E: *τοῦ θεοῦ ἐπιτρέποντος* S 22 ss. *ἀπέρχεται . . . καὶ* E: *ἀπερχόμενος* S 23. *εἰς* om. E 24. *καὶ κτείνει* suprascriptum in E 24 s. *κτείνει τήν τε μητέρα καὶ τὸν Αἴγισθον* E: *τόν τε Αἴ-*

Αἴγισθον, καὶ μετ' οὐ πολὺ μανίᾳ κατασχεθεὶς ὑπὸ Ἐριννύων διωκόμενος εἰς Ἀθήνας παραγίνεται καὶ κρίνεται ἐν Ἀρείῳ πάγῳ καὶ ἀπολύεται.

τὴν μητέρα κτείνει, καὶ μετ' οὐ πολὺ μανίᾳ καταςχεθεὶς ὑπὸ Ἐρινύων διωκόμενος εἰς Ἀθήνας παραγίνεται. κρίνεται δὲ Ὀρέςτης ἐν Ἀρείῳ πάγῳ, ὡς μὲν λέγουςί τινες ὑπὸ Ἐρινύων, ὡς δέ τινες ὑπὸ Τυνδάρεω, ὡς δέ τινες ὑπὸ Ἠριγόνης τῆς Αἰγίςθου καὶ Κλυταιμνήςτρας, καὶ κριθεὶς ἴςων γενομένων τῶν ψήφων ἀπολύεται.

26 *καὶ λαμβάνει χρησμὸν ἀπαλλαγῆναι τῆς νόσου, εἰ τὸ ἐν Ταύροις μετακομίσοι βρέτας.*

ἐρομένῳ δὲ αὐτῷ, πῶς ἂν ἀπαλλαγείη τῆς νόςου, ὁ θεὸς εἶπεν, εἰ τὸ ἐν Ταύροις ξόανον μετακομίςειεν. οἱ δὲ Ταῦροι μοῖρά

(25) 1 ss. Tzetz. Lycophr. 1374: *Ὀρέστης μετὰ τὸ ἀνελεῖν Αἴγισθον καὶ Κλυταιμνήστραν διωκόμενος ὑπ' Ἐριννύων φεύγει πρὸς Ἀθήνας ἐν τῇ τῶν Ἀνθεστηρίων ἑορτῇ βασιλεύοντος Δημοφῶντος, καὶ κρίνεται ἐν Ἀρείῳ πάγῳ ἢ μετὰ Ἐριννύων ἢ Τυνδάρεω, ἢ Ἠριγόνης, τῆς Αἰγίσθου καὶ Κλυταιμνήστρας θυγατρός. ἴσων δὲ γενομένων τῶν ψήφων ἀπελύθη.*

(26) *ἔχρησε δὲ ὁ θεὸς τῆς μανίας αὐτὸν ἀπαλλαγῆναι, εἰ τὸ ἐν Ταύροις ξόανον τῆς Ἀρτέμιδος μετακομίσει· οἱ δὲ Ταῦροι*

γισθον καὶ τὴν μητέρα κτείνει S 3. *Ἐρινύων* S: *Ἐριννύων* E Tzetz. 4—13. nota memorabilem consensum cum marm. Par. 25 5 ss. de supplementis, quae partim ex libro Sabbaitico partim ex Tzetza accrescunt breviori Vaticani narrationi, confer Epit. Vat. p. 111, Mus. Rhen. XLVI p. 411 8 s. *τινὲς* S 14. *ἐρωμένω* S, corr. *Ker.* 15. (26) *τῆς Ἀρτέμιδος* desiderari non potest 17 s. *μετακομίσοι* E: *μετακομίσειε* S, *μετακομίσει* Tzetz. 18. *μοῖρα ἐστὶ* S

καὶ δὴ παραγενόμενος ἐν Ταύροις μετὰ Πυλάδου φωραθεὶς ἑάλω καὶ ἄγεται πρὸς Θόαντα τὸν βασιλέα δέσμιος, ὁ δὲ ἀμφοτέρους πρὸς τὴν ἱέρειαν ἀποστέλλει. ἐπιγνωσθεὶς δὲ ὑπὸ τῆς ἀδελφῆς, ἄρας τὸ ξόανον σὺν αὐτῇ φεύγει.

ἐϲτι Ϲκυθῶν, οἳ τοὺϲ ξένουϲ φονεύουϲι καὶ εἰϲ τὸ ἱερὸν ῥίπτουϲι. τοῦτο ἦν ἐν τῷ τεμένει διά τινοϲ πέτραϲ ἀναφερόμενον ἐξ Ἅιδου.
παραγενόμενοϲ οὖν εἰϲ Ταύ- 27
ρουϲ Ὀρέϲτηϲ μετὰ Πυλάδου φωραθεὶϲ ἑάλω καὶ ἄγεται πρὸϲ Θόαντα τὸν βαϲιλέα δέϲμιοϲ, ὁ δὲ ἀμφοτέρουϲ πρὸϲ τὴν ἱέρειαν ἀποϲτέλλει. ἐπιγνωϲθεὶϲ δὲ ὑπὸ τῆϲ ἀδελφῆϲ ἱερὰ ποιούϲηϲ ἐν Ταύροιϲ, ἄραϲ τὸ ξόανον ϲὺν αὐτῇ φεύγει. κομιϲθὲν δὲ εἰϲ Ἀθήναϲ νῦν λέγεται τὸ τῆϲ Ταυροπόλου. ἔνιοι δὲ αὐτὸν κατὰ χειμῶνα προϲενεχθῆναι τῇ νήϲῳ Ῥό-

μοῖρα Σκυθῶν. παραγενόμενος δὲ μετὰ Πυλάδου καὶ κρατηθεὶς (27)
παρὰ βουκόλων ἤχθη δέσμιος σὺν τῷ Πυλάδῃ πρὸς Θόαντα τὸν βασιλέα. ὁ δὲ αὐτοὺς πρὸς τὴν ἱέρειαν Ἰφιγένειαν ἔπεμψε. μεθ᾽ ἧς καὶ τοῦ ἀγάλματος φεύγουσι· χειμασθέντες δὲ ἐξώκειλαν παρὰ τὰ νῦν λεγομένης Σελευκείας μέρη καὶ Ἀντιοχείας καὶ τὸ Μελάντιον ὄρος, ὃ ἀπὸ τοῦ πανθῆναι τὸν Ὀρέστην ἐκεῖ τῆς μανίας Ἀμανὸν ἐκλήθη. ὕστερον δὲ

1 ss. aut verba *οἳ τοὺς — ῥίπτουσι*, aut *τοῦτο — Ἅιδου* interpolata sunt 2. *ἱερὸν*] *πῦρ* add. *Herwerdenus* Mnemos. XX p. 200 8. *φωραθεὶς ἑάλω* ES: *κρατηθεὶς παρὰ βουκόλων* Tzetz. (*a pastoribus deprehensi* Hyg. fab. 120) 13. *ἱεροποιούσης Büch.* 13 s. *ἱερὰ ποιούσης ἐν Ταύροις* om. E Tzetz. 26. *Ἀμανὸν*] conf. Steph. Byz. s. v.

δῳ λέγουϲιν . . . αὐτὸν καὶ κατὰ χρηϲμὸν ἐν τείχει καθοϲιωθῆναι. Ὀρέϲτηϲ δὲ τὴν ἀδελφὴν Ἠλέκτραν Πυλάδῃ ϲυνῴκιϲεν, αὐτὸϲ δὲ γήμαϲ Ἑρμιόνην ἐγέννηϲε Τιϲαμενόν.

28 *καὶ δὴ ἐλθὼν εἰς Μυκήνας Πυλάδῃ μὲν τὴν ἀδελφὴν Ἠλέκτραν συζεύγνυσιν, αὐτὸς δὲ γήμας Ἑρμιόνην, ἢ κατά τινας Ἠριγόνην, τεκνοῖ . . ., καὶ δηχθεὶς ὑπὸ ὄφεως ἐν Ὀρεστείῳ τῆς Ἀρκαδίας θνήσκει.*

29 *Μενέλαος δὲ πέντε ναῦς τὰς ὅλας ἔχων μεθ' ἑαυτοῦ*

Μενέλαοϲ δὲ πέντε ναῦϲ τὰϲ πάϲαϲ ἔχων μεθ' ἑαυτοῦ προϲϲχὼν Ϲουνίῳ τῆϲ Ἀττικῆϲ ἀκρωτηρίῳ κἀκεῖθεν εἰϲ Κρήτην ἀπορριφεὶϲ πάλιν ὑπὸ ἀνέμων μακρὰν ἀπωθεῖται, καὶ πλανώμενοϲ ἀνά τε Λιβύην καὶ Φοινίκην

(28) *ἦλθεν εἰς Ἀθήνας . . . καὶ Πυλάδῃ μὲν Ἠλέκτραν ζευγνύει, αὐτὸς δὲ μετὰ τῶν Δελφῶν ἀνελὼν Νεοπτόλεμον τὸν Ἀχιλλέως ἔγημεν Ἑρμιόνην, ἐξ ἧς γεννᾷ Τισαμενόν, ἢ κατά τινας Ἠριγόνην γήμας τὴν Αἰγίσθου Πενθίλον γεννᾷ, οἰκῶν ἐν Ὀρεστίᾳ τῆς Ἀρκαδίας, ὅπου ὑπὸ ὄφεως δηχθεὶς ἀναιρεῖται.* (conf. Epit. Vat. p. 111 et 294. Mus. Rhen. XLVI p. 411)

1 lacunam sic explendam *λέγουσι ⟨καὶ τὸ ξόανον μεῖναι αὐτοῦ καὶ⟩ αὐτὸν* indicavit *Büch.* *λέγουσι ναυαγὸν Ker.* 5. *συνῴκησεν* S, corr. *Ker.* 6 ss. hiulca ES: integra Apollodori verba servavit Tzetzes. 9. *Ὀρεστείῳ* ES: *Ὀρεστίᾳ* Tzetz. (*ὀρεστείᾳ* codd. Vitt. 2 et 3), conf. Steph. Byz. s. v. *Ὀρεστία* 12. *ὅλας* E: *πάσας* S 14. *ἀκροτηρίῳ* S, corr. *Ker.* 19. lacunam indicaveram Epit. Vat. p. 111, quam explevit S 20. *Δελφῶν* restitui: *ἀδελφῶν* Tzetz.

πολλὰς χώρας παραμείψας πολλὰ συναθροίζει χρήματα. καὶ κατά τινας εὑρίσκεται παρὰ Πρωτεῖ τῷ τῶν Αἰγυπτίων βασιλεῖ Ἑλένη, μέχρι τότε εἴδωλον ἐκ νεφῶν ἐσχηκότος τοῦ Μενελάου. ὀκτὼ δὲ πλανηθεὶς ἔτη κατέπλευσεν εἰς Μυκήνας, κἀκεῖ κατέλαβεν Ὀρέστην μετεληλυθότα τὸν τοῦ πατρὸς φόνον. ἐλθὼν δὲ εἰς Σπάρτην τὴν ἰδίαν ἐκτήσατο βασιλείαν. καὶ...

καὶ Κύπρον καὶ Αἴγυπτον πολλὰ συναθροίζει χρήματα. καὶ κατά τινας εὑρίσκεται παρὰ Πρωτεῖ τῷ τῶν Αἰγυπτίων βασιλεῖ Ἑλένη, μέχρι τότε εἴδωλον ἐκ νεφῶν ἐσχηκότος τοῦ Μενελάου. ὀκτὼ δὲ πλανηθεὶς ἔτη κατέπλευσεν εἰς Μυκήνας, κἀκεῖ κατέλαβεν Ὀρέστην μετεληλυθότα τὸν τοῦ p. 176,1
πατρὸς φόνον. ἐλθὼν δὲ εἰς Σπάρτην ⟨τὴν⟩ ἰδίαν ἐκτήσατο βασιλείαν. καὶ ἀποθανατισθεὶς ὑπὸ Ἥρας εἰς τὸ Ἠλύσιον ἦλθε πεδίον μεθ' Ἑλένης.

Ὁ δὲ Ὀδυσσεύς, ὡς μὲν ἔνιοι λέγουσιν, ἐπλανᾶτο 7
κατὰ Λιβύην, ὡς δὲ ἔνιοι κατὰ Σικελίαν, ὡς δὲ ἄλλοι κατὰ τὸν Ὠκεανὸν ἢ κατὰ τὸ Τυρρηνικὸν πέλαγος.

ἀναχθεὶς δὲ ἀπὸ Ἰλίου προσίσχει πόλει Κικόνων 2
Ἰσμάρῳ καὶ ταύτην αἱρεῖ πολεμῶν καὶ λαφυραγωγεῖ, μόνου φεισάμενος Μάρωνος, ὃς ἦν ἱερεὺς Ἀπόλλωνος. αἰσθόμενοι δὲ οἱ τὴν ἤπειρον οἰκοῦντες Κίκονες σὺν ὅπλοις ἐπ' αὐτὸν παραγίνονται· ἀφ' ἑκάστης δὲ νεὼς

5. *ἑλένη* *S: *ἑλένης* E 13. *τὴν* om. S 14. *καὶ*] *μετὰ θάνατον* . . . suppleveram (conf. Epit. Vat. p. 112, Mus. Rhen. XLVI p. 412 adn.) Hic explicit in E fol 49v, post quod tria folia excisa sunt (conf. praefat.) 17. *μετ' ἑλένης* S, corr. *Ker.* 18—20.] conf. Mus. Rhen. XLVI p. 412 s. 23. *Μάρωνος*] Hom. ι 196 ss.

3 ἓξ ἀποβαλὼν ἄνδρας ἀναχθεὶς ἔφευγε. καὶ καταντᾷ εἰς
τὴν Λωτοφάγων χώραν καὶ πέμπει τινὰς μαθησομένους
τοὺς κατοικοῦντας· οἱ δὲ γευσάμενοι τοῦ λωτοῦ κατέ-
μειναν· ἐφύετο γὰρ ἐν τῇ χώρᾳ καρπὸς ἡδὺς λεγόμενος
λωτός, ὃς τῷ γευσαμένῳ πάντων ἐποίει λήθην. Ὀδυσ-
σεὺς δὲ αἰσθόμενος, τοὺς λοιποὺς κατασχών, τοὺς γευσα-
μένους μετὰ βίας ἐπὶ τὰς ναῦς ἄγει, καὶ προσπλεύσας
τῇ Κυκλώπων γῇ προσπελάζει.
4 καταλιπὼν δὲ τὰς λοιπὰς ναῦς ἐν τῇ πλησίον νήσῳ,
μίαν ἔχων τῇ Κυκλώπων γῇ προσπελάζει, μετὰ δώδεκα
ἑταίρων ἀποβὰς τῆς νεώς. ἔστι δὲ τῆς θαλάσσης πλη-
σίον ἄντρον, εἰς ὃ ἔρχεται ἔχων ἀσκὸν οἴνου τὸν ὑπὸ
Μάρωνος αὐτῷ δοθέντα. ἦν δὲ Πολυφήμου τὸ ἄντρον,
ὃς ἦν Ποσειδῶνος καὶ Θοώσης νύμφης, ἀνὴρ ὑπερμεγέ-
θης ἄγριος ἀνδροφάγος, ἔχων ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ
5 μετώπου. ἀνακαύσαντες δὲ πῦρ καὶ τῶν ἐρίφων θύσαν-
τες εὐωχοῦντο. ἐλθὼν δὲ ὁ Κύκλωψ καὶ εἰσελάσας τὰ
ποίμνια τῇ μὲν θύρᾳ προσέθηκε πέτρον ὑπερμεγέθη καὶ
6 θεασάμενος αὐτοὺς ἐνίους κατήσθιεν. Ὀδυσσεὺς δὲ αὐ-
τῷ δίδωσιν ἐκ τοῦ Μάρωνος οἴνου πιεῖν· ὁ δὲ πιὼν
πάλιν ᾔτησε, καὶ πιὼν τὸ δεύτερον ἐπηρώτα τὸ ὄνομα.
τοῦ δὲ εἰπόντος ⟨ὅτι⟩ Οὖτις καλεῖται, Οὖτιν ἠπείλει
ὕστερον ἀναλῶσαι, τοὺς δὲ ἄλλους ἔμπροσθεν, καὶ τοῦτο

2. *τινὰς* reposui: *τοὺς* S (conf. e. gr. bibl. III 22: *πέμπει τινὰς ληψομένους ὕδωρ*, ep. 7, 12: *ἔπεμψέ τινας πευσομένους*) 6. fort. *αἰσθόμενος* ⟨*καὶ*⟩ 7. *προσπλεύσας*] malim *ἀποπλεύσας* 8. *κυκλώπω* S 11. *ἑταίρων*] *αιρ* in ras. S 12. *τὸν* . . . *δοθέντα*] Apollodorus aut Homeri verba *ἀσκὸν ἔχον μέλανος οἴνοιο ἡδέος, ὅν μοι ἔδωκε Μάρων* (*ι* 197) falso interpretatus est, aut scripsit *τοῦ* . . . *δοθέντος*; nam non *ἀσκὸν οἴνοιο*, sed *οἶνον ἐν ἀμφιφορεῦσι δυώδεκα* Maron Ulixi donaverat (*ι* 204) 21. *δεύτερον*] exspectaveris *τρίτον* (*ι* 361) 22. *ὅτι* add. *Büch.*

αὐτῷ ξένιον ἀποδώcειν ὑπέcχετο. καταcχεθεὶc δὲ ὑπὸ
μέθηc ἐκοιμήθη. Ὀδυccεὺc δὲ εὑρὼν ῥόπαλον κείμενον 7
cὺν τέccαρcιν ἑταίροιc ἀπώξυνε καὶ πυρώcαc ἐξετύφλωcεν
αὐτόν. ἐπιβοωμένου δὲ Πολυφήμου τοὺc πέριξ Κύκλω-
παc, παραγενόμενοι ἐπηρώτων τίc αὐτὸν ἀδικεῖ. τοῦ δὲ
εἰπόντοc 'Οὔτιc', νομίcαντεc αὐτὸν λέγειν 'ὑπὸ μηδενόc'
ἀνεχώρηcαν. ἐπιζητούντων δὲ τῶν ποιμνίων τὴν cυνήθη 8
νομήν, ἀνοίξαc καὶ ἐπὶ τοῦ προθύρου cτὰc τὰc χεῖραc
ἐκπετάcαc ἐψηλάφα τὰ ποίμνια. Ὀδυccεὺc δὲ τρεῖc
p. 177,1 κριοὺc ὁμοῦ cυνδέων ... καὶ αὐτὸc τῷ μείζονι ὑποδύc,
ὑπὸ τὴν γαcτέρα κρυβείc, cὺν τοῖc ποιμνίοιc ἐξῆλθε, καὶ
λύcαc τοὺc ἑταίρουc τῶν ποιμνίων, ἐπὶ τὰc ναῦc ἐλάcαc
ἀποπλέων ἀνεβόηcε Κύκλωπι ὡc Ὀδυccεὺc εἴη καὶ ἐκ-
πεφεύγοι τὰc ἐκείνου χεῖραc. ἦν δὲ λόγιον Κύκλωπι 9
εἰρημένον ὑπὸ μάντεωc τυφλωθῆναι ὑπὸ Ὀδυccέωc. καὶ
μαθὼν τὸ ὄνομα πέτραc ἀποcπῶν ἠκόντιζεν εἰc τὴν
θάλαccαν, μόλιc δὲ ἡ ναῦc cώζεται πρὸc τὰc πέτραc.
ἐκ τούτου δὲ μηνίει Ποcειδῶν Ὀδυccεῖ.

ἀναχθεὶc δὲ cυμπάcαιc ⟨ναυcὶ⟩ παραγίνεται εἰc 10
Αἰολίαν νῆcον, ἧc ὁ βαcιλεὺc ἦν Αἴολοc. οὗτοc ἐπι-
μελητὴc ὑπὸ Διὸc τῶν ἀνέμων καθεcτήκει καὶ παύειν
καὶ προϊέcθαι. ὃc ξενίcαc Ὀδυccέα δίδωcιν αὐτῷ ἀcκὸν
βόειον, ἐν ᾧ κατέδηcε τοὺc ἀνέμουc, ὑποδείξαc οἷc δεῖ
χρῆcθαι πλέοντα, τοῦτον ἐν τῷ cκάφει καταδήcαc. ὁ δὲ
Ὀδυccεὺc ἐπιτηδείοιc ἀνέμοιc χρώμενοc εὐπλοεῖ, καὶ
πληcίον Ἰθάκηc ὑπάρχων ἤδη τὸν ἀναφερόμενον ἐκ τῆc

3. *ἀπώξενε* S, corr. *Ker.* (*ἀποξῦσαι* vel *ἀποξῦναι* ι 326, *ἐξαποξύνας* Eurip. Cycl. 456) 8. *στὰς*] *καθέζετο* ι 417 10. lacunam indicavi coll. ι 431 ss. 13. et 25. *ὀδυσσεὺς* S 13. *ἐπιφεύγει* S, corr. *Büch.* 18. *ποσειδῶν* S 19. *ναυσὶ* add. *Büch.* 20. *νῆσσον* S *Αἴολος*] in rasura primum *αἴολον*, tum *ν* correctum in S 23. *κατέδησε*] *η* in ras. S

11 πόλεως καπνὸν ἰδὼν ἐκοιμήθη. οἱ δὲ ἑταῖροι νομίζοντες
χρυσὸν ἐν τῷ ἀσκῷ κομίζειν αὐτόν, λύσαντες τοὺς ἀνέ-
μους ἐξαφῆκαν, καὶ πάλιν εἰς τοὐπίσω παρεγένοντο ὑπὸ
τῶν πνευμάτων ἁρπασθέντες. Ὀδυσσεὺς δὲ ἀφικόμενος
πρὸς Αἴολον ἠξίου πομπῆς τυχεῖν, ὁ δὲ αὐτὸν ἐκβάλλει
τῆς νήσου λέγων ἀντιπρασσόντων τῶν θεῶν μὴ δύνασθαι
σώζειν.

12 πλέων οὖν κατῆρε πρὸς Λαιστρυγόνας, καὶ ... τὴν
ἑαυτοῦ ναῦν καθώρμισεν ἐσχάτως. Λαιστρυγόνες δ' ἦσαν
ἀνδροφάγοι, καὶ αὐτῶν ἐβασίλευεν Ἀντιφάτης. μαθεῖν
οὖν Ὀδυσσεὺς βουλόμενος τοὺς κατοικοῦντας ἔπεμψέ
τινας πευσομένους. τούτοις δὲ ἡ τοῦ βασιλέως θυγάτηρ
13 συντυγχάνει καὶ αὐτοὺς ἄγει πρὸς τὸν πατέρα. ὁ δὲ
ἕνα μὲν αὐτῶν ἁρπάσας ἀναλίσκει, τοὺς δὲ λοιποὺς ἐδί-
ωκε φεύγοντας κεκραγὼς καὶ συγκαλῶν τοὺς ἄλλους
Λαιστρυγόνας. οἱ δὲ ἦλθον ἐπὶ τὴν θάλασσαν καὶ βάλ-
λοντες πέτροις τὰ μὲν σκάφη κατέαξαν, αὐτοὺς δὲ ἐβί-
βρωσκον. Ὀδυσσεὺς δὲ κόψας τὸ πεῖσμα τῆς νεὼς ἀνήχθη,
αἱ δὲ λοιπαὶ σὺν τοῖς πλέουσιν ἀπώλοντο.

14 μίαν δὲ ἔχων ναῦν Αἰαίῃ νήσῳ προσίσχει. ταύτην
κατῴκει Κίρκη, θυγάτηρ Ἡλίου καὶ Πέρσης, Αἰήτου δὲ
ἀδελφή, πάντων ἔμπειρος οὖσα φαρμάκων. διελὼν τοὺς
ἑταίρους αὐτὸς μὲν κλήρῳ μένει παρὰ τῇ νηί, Εὐρύλοχος
δὲ πορεύεται μεθ' ἑταίρων εἰκοσιδύο τὸν ἀριθμὸν πρὸς
15 Κίρκην. καλούσης δὲ αὐτῆς χωρὶς Εὐρυλόχου πάντες
εἰσίασιν. ἡ δ' ἑκάστῳ κυκεῶνα πλήσασα τυροῦ καὶ μέ-

1. *ἑταῖροι*] *αι* in ras. S 8. lacunam indicavi coll. *κ* 91 ss. 10. *ἐβασίλευεν*] *εν* in ras. S 12. *τινὰς* S 22. *διελὼν* ⟨*δὲ*⟩? 23. *ἑταίρους*] *αι* in ras. S *νιί* S, corr. *Ker.* 24. *ἑτέρων* S, corr. *Ker.* *εἰκοσιδύο*] forma recentior orta est ex siglo *κβ'*

p. 178, 1 λιτος καὶ ἀλφίτων καὶ οἴνου δίδωσι, μίξασα φαρμάκῳ.
πιόντων δὲ αὐτῶν, ἐφαπτομένη ῥάβδῳ τὰς μορφὰς
ἠλλοίου, καὶ τοὺς μὲν ἐποίει λύκους, τοὺς δὲ σῦς,
τοὺς δὲ ὄνους, τοὺς δὲ λέοντας. Εὐρύλοχος δὲ ἰδὼν 16
ταῦτα Ὀδυσσεῖ ἀπαγγέλλει. ὁ δὲ λαβὼν μῶλυ παρὰ
Ἑρμοῦ πρὸς Κίρκην ἔρχεται, καὶ βαλὼν εἰς τὰ φάρμακα
τὸ μῶλυ μόνος πιὼν οὐ φαρμάσσεται· σπασάμενος δὲ τὸ
ξίφος ἤθελε Κίρκην ἀποκτεῖναι. ἡ δὲ τὴν ὀργὴν παύ-
σασα τοὺς ἑταίρους ἀποκαθίστησι. καὶ λαβὼν ὅρκους
Ὀδυσσεὺς παρ᾽ αὐτῆς μηδὲν ἀδικηθῆναι συνευνάζεται,
καὶ γίνεται αὐτῷ παῖς Τηλέγονος. ἐνιαυτὸν δὲ μείνας 17
ἐκεῖ, πλεύσας τὸν Ὠκεανόν, σφάγια ταῖς ψυχαῖς
ποιησάμενος μαντεύεται παρὰ Τειρεσίου, Κίρκης ὑποθε-
μένης, καὶ θεωρεῖ τάς τε τῶν ἡρώων ψυχὰς καὶ τῶν
ἡρωΐδων. βλέπει δὲ καὶ τὴν μητέρα Ἀντίκλειαν καὶ
Ἐλπήνορα, ὃς ἐν τοῖς Κίρκης πεσὼν ἐτελεύτησε.

παραγενόμενος δὲ πρὸς Κίρκην ὑπ᾽ ἐκείνης προ- 18
πεμφθεὶς ἀνήχθη, καὶ τὴν νῆσον παρέπλει τῶν Σειρήνων.
αἱ δὲ Σειρῆνες ἦσαν Ἀχελῴου καὶ Μελπομένης μιᾶς τῶν
Μουσῶν θυγατέρες, Πεισινόη Ἀγλαόπη Θελξιέπεια. τού-

3 s.] nota fabulae formam ab Homero discrepantem, sed consentientem cum vasorum fictilium figuris (*Baumeister* Antike Denkmäler p. 781 s.) et Dione Chrys. 8 p. 134 (*Seeliger* in Roscheri lex. myth. II p. 1194)   6 s. *καὶ βαλὼν εἰς τὰ φάρμακα τὸ μῶλυ*] ab Homero aliena, sed conf. Hyg. fab. 125 (p. 107, 19 Sch.): *postquam poculum ab ea accepit, remedium Mercurii monitu coniecit.* Mythogr. Vat. I 15, II 211 (schol. rec. Hom. *κ* 305)   8. *ἤθελε Büch.*: *ἦλθε* S   11.] nota Telegonum ex Telegonia additum   12. ⟨*καὶ*⟩ *σφάγια?*   14 s. *ἡρῴων . . . ἡρωίδων* S   18. *παραπλέει* S, correxi   19. *Σειρῆνες*] conf. bibl. I 63 et 18: *Μελπομένης δὲ καὶ Ἀχελῴου Σειρῆνες, περὶ ὧν ἐν τοῖς περὶ Ὀδυσσέως ἐροῦμεν* (Mus. Rhen. XLVI p. 418)   20. — p. 232, 3. haec quoque, non minus quam numerus nomina forma Sirenum ab Homero aliena, exscripsit Tzetz. Lycophr. 712

των ἡ μὲν ἐκιθάριζεν, ἡ δὲ ᾖδεν, ἡ δὲ ηὔλει, καὶ διὰ
19 τούτων ἔπειθον καταμένειν τοὺς παραπλέοντας. εἶχον
δὲ ἀπὸ τῶν μηρῶν ὀρνίθων μορφάς. ταύτας παραπλέων
Ὀδυσσεύς, τῆς ᾠδῆς βουλόμενος ὑπακοῦσαι, Κίρκης ὑπο-
θεμένης τῶν μὲν ἑταίρων τὰ ὦτα ἔβυσε κηρῷ, ἑαυτὸν
δὲ ἐκέλευσε προσδεθῆναι τῷ ἱστῷ. πειθόμενος δὲ ὑπὸ
τῶν Σειρήνων καταμένειν ἠξίου λυθῆναι, οἱ δὲ μᾶλλον
αὐτὸν ἐδέσμευον, καὶ οὕτω παρέπλει. ἦν δὲ αὐταῖς
Σειρῆσι λόγιον τελευτῆσαι νεὼς παρελθούσης· αἱ μὲν
20 οὖν ἐτελεύτων. μετὰ δὲ τοῦτο παραγίνεται ἐπὶ δισσὰς
ὁδούς. ἔνθεν μὲν ἦσαν αἱ Πλαγκταὶ πέτραι, ἔνθεν δὲ
ὑπερμεγέθεις σκόπελοι δύο. ἦν δὲ ἐν μὲν θατέρῳ Σκύλλα,
Κραταιίδος θυγάτηρ καὶ † Τριήνου ἢ Φόρκου, πρόσωπον
ἔχουσα καὶ στέρνα γυναικός, ἐκ λαγόνων δὲ κεφαλὰς ἓξ
21 καὶ δώδεκα πόδας κυνῶν. ἐν δὲ θατέρῳ [τῷ σκοπέλῳ]
ἦν Χάρυβδις, ἣ τῆς ἡμέρας τρὶς ἀνασπῶσα τὸ ὕδωρ πάλιν
ἀνίει. ὑποθεμένης δὲ Κίρκης, τὸν μὲν παρὰ τὰς Πλαγ-
κτὰς πλοῦν ἐφυλάξατο, παρὰ δὲ τὸν τῆς Σκύλλης σκό-
πελον ἐπὶ τῆς πρύμνης ἔστη καθωπλισμένος. ἐπιφανεῖσα
δὲ ἡ Σκύλλα ἓξ ἑταίρους ἁρπάσασα τούτους κατεβίβρωσ-
22 κεν. ἐκεῖθεν δὲ ἐλθὼν εἰς Θρινακίαν νῆσον οὖσαν Ἡλίου,
ἔνθα βόες ἐβόσκοντο, καὶ ἀπλοίᾳ κατασχεθεὶς ἔμεινεν p. 179, 1

1. *ἤδεν* S 8 ss. *ἦν δὲ — ἐτελεύτων*] conf. Hyg. l. l. p. 108, 10 s. 8. *αὐταῖς* S: *αὖ ταῖς?* 9. *νηὸς* S, correxi 11. *πλακ-ταὶ* S, corr. *Ker.* 13. *τριήνου* S *Τυρρήνου* **schol. Plat. Polit. IX 588 c**: *Τριαίνου* vel *Τυφῶνος* (Hyg. fab. p. 12, 17 et 108, 15 Sch.), *Büch.*; sed scribendum videtur *Τρίτωνος* ex Eustath. in Hom. p. 1714, 32 *ἢ φόρκου* schol. Plat. *Büch.*: *ἢ φόρκου* S 15. *τῷ σκοπέλῳ* del. *Büch.* 16. *τρίτον σπῶσα* S: *τρὶς σπῶσα* *Büch.*, scripsi *τρὶς ἀνασπῶσα* 17. *πλακτὰς* S *τὰς Πλαγκ-τὰς*] exspectaveris *τὴν Χάρυβδιν*, nam verba *ὑποθεμένης Κίρκης* magis conveniunt cum *μ* 56 ss., quam cum vv. 106 ss. 18. *σκόπελον* ⟨*πλέων*⟩? 20. *ἑταίρους*] *αι* in ras. S

αὐτοῦ. τῶν δὲ ἑταίρων cφαξάντων ἐκ τῶν βοῶν καὶ
θοινηcαμένων, λειφθέντων τροφῆc, Ἥλιοc ἐμήνυcε Διί.
καὶ ἀναχθέντα κεραυνῷ ἔβαλε. λυθείcηc δὲ τῆc νεὼc 23
Ὀδυccεὺc τὸν ἱcτὸν καταcχὼν παραγίνεται εἰc τὴν Χάρυβδιν. τῆc δὲ Χαρύβδεωc καταπινούcηc τὸν ἱcτόν, ἐπιλαβόμενοc ὑπερπεφυκότοc ἐρινεοῦ περιέμεινε. καὶ πάλιν ἀνεθέντα τὸν ἱcτὸν θεωρήcαc, ἐπὶ τοῦτον ῥίψαc εἰc Ὠγυγίαν νῆcον διεκομίcθη.

ἐκεῖ δὲ ἀποδέχεται Καλυψὼ θυγάτηρ Ἄτλαντοc, καὶ 24
cυνευναcθεῖcα γεννᾷ παῖδα Λατῖνον. μένει δὲ παρ᾽ αὐτῇ πενταετίαν, καὶ cχεδίαν ποιήcαc ἀποπλεῖ. ταύτηc δὲ ἐν τῷ πελάγει διαλυθείcηc ὀργῇ Ποcειδῶνοc, γυμνὸc πρὸc
Φαίακαc ἐκβράccεται. Ναυcικάα δέ, ἡ τοῦ βαcιλέωc 25
θυγάτηρ Ἀλκινόου, πλύνουcα τὴν ἐcθῆτα ἱκετεύcαντα αὐτὸν ἄγει πρὸc Ἀλκίνοον, ὃc αὐτὸν ξενίζει καὶ δῶρα δοὺc μετὰ πομπῆc αὐτὸν εἰc τὴν πατρίδα ἐξέπεμψε. Ποcειδῶν δὲ Φαίαξι μηνίcαc τὴν μὲν ναῦν ἀπελίθωcε, τὴν δὲ πόλιν ὄρει περικαλύπτει.

Ὀδυccεὺc δὲ παραγενόμενοc εἰc τὴν πατρίδα εὑρίcκει 26
τὸν οἶκον διεφθαρμένον· νομίcαντεc γὰρ αὐτὸν τεθνάναι
Πηνελόπην ἐμνῶντο ἐκ Δουλιχίου μὲν νζ′· Ἀμφίνομοc 27

2. *ληφθέντων* S, corr. *Ker.* *ἐμήνισε* S, corr. *Büch.* 6. *ὑπερφυκότος* S, corr. *Ker.* 10. Latinum addidit bibliothecae auctor 14. *αἰσθῆτα* S 15. *ὃσαυτὸν* S 16. *αυτὸν* (sine spiritu) S, del. *Ker.* 17. *ποσειδὼν* S 21 ss.] de procorum catalogo conf. Mus. Rhen. XLVI p. 418 s. Apud Homerum commemorantur: *Ἀγέλαος Ἀμφιμέδων Ἀμφίνομος Ἀντίνοος Δημοπτόλεμος Ἔλατος Εὐρυάδης Εὐρύμαχος Εὐρυδάμας* (ultimi tres desiderantur in bibliothecae catalogo) *Κτήσιππος Λειώδης Λειώκριτος Πείσανδρος Πόλυβος*; erant CVIII (*π* 247 ss.), apud Apollodorum CXXIX 21. *νζ′*] sunt *νγ′*; erant fortasse *νβ′*, ut uno nomine ad Samios translato et Dulichiorum (*νβ′*) et Samiorum (*κδ′*) numerus Homericus efficiatur.

Θόας Δημοπτόλεμος Ἀμφίμαχος Εὐρύαλος, Πάραλος
Εὐηνορίδης Κλυτίος Ἀγήνωρ Εὐρύπυλος, Πυλαιμένης
Ἀκάμας Θερσίλοχος Ἅγιος Κλύμενος, Φιλόδημος Μενε-
πτόλεμος Δαμάστωρ Βίας Τέλμιος, Πολύιδος Ἀστύλοχος
Σχεδίος Ἀντίγονος Μάρψιος, Ἰφιδάμας Ἀργεῖος Γλαῦκος
Καλυδωνεὺς Ἐχίων, Λάμας Ἀνδραίμων Ἀγέρωχος Μέδων
Ἄγριος, Πρόμος Κτήσιος Ἀκαρνάν Κύκνος Ψηρᾶς, Ἑλλά-
νικος Περίφρων Μεγασθένης Θρασυμήδης Ὀρμένιος,
Διοπίθης Μηκιστεὺς Ἀντίμαχος Πτολεμαῖος Λεστορίδης,
28 Νικόμαχος Πολυποίτης Κεραός. ἐκ δὲ Σάμης κγ'· Ἀγέ-
λαος Πείσανδρος Ἔλατος Κτήσιππος Ἱππόδοχος, Εὐρύ-
στρατος Ἀρχέμολος Ἴθακος Πεισήνωρ Ὑπερήνωρ, Φεροί-
της Ἀντισθένης Κέρβερος Περιμήδης Κῦννος, Θρίασος
Ἐτεωνεὺς Κλυτίος Πρόθοος Λύκαιθος, Εὔμηλος Ἴτανος
29 Λύαμμος. ἐκ δὲ Ζακύνθου μδ'· Εὐρύλοχος Λαομήδης
Μόλεβος Φρένιος Ἴνδιος, Μίνις Λειώκριτος Πρόνομος p. 180, 1
Νίσας Δαήμων, Ἀρχέστρατος Ἱππό[μαχος Εὐρύαλος Περί-

1. *Ἀμφίμαχος* repetitur p. 235, 7 1 s. *Εὐρύαλος* — *Ἀγήνωρ* repetuntur l. 17 s. 2. 14. p. 235, 1. *κλύτιος* S, correxi 2. *εὐρύπιλος* S, corr. *Ker.* *παλαιμένης* S, corr. *Ker.* 5. *σχέδιος* S, correxi *ἀνήγονος* S, corr. Büch. 6. *Δάμας*? 7. *ἀκαρνᾶν* S *Ψυρᾶς* *Ker.* 8. *μεγασθέντης* S, corr. *Ker.* *θρασυμίδης* S, corr. *Ker.* 9. *Νεστορίδης* *Ker.*; an *Θεστορίδης*? 10. *κγ'*] Hom. *κδ'*, conf. ad 233, 21 11. *Κτήσιππος* repetitur 235, 9 *εὐρύστατος* S, corr. *Ker.* 12. *Ἀρχέμολος*] *Ἀρχέμορος* aut *Ἀρχέμαχος* *Ker.* *Φεροίτης*] *Φιλοίτιος* *Ker.* 13. *Κῦνος*? 14. *κλύτιος* S, v. ad l. 2 *Λυκάεθος* S, corr. *Ker.* (conf. bibl. III 124) *εὔμιλος* S, corr. *Ker.* *Ἴταμος* *Büch.* 15. *μδ'*] sunt *μα'*, ap. Hom. *κ'* 16. *Μόλεβος*] *Μούλιος* *Ker.* 16. *Φρένιος* repetitur p. 235, 2: *Φήμιος* *Ker.*, sed conf. ad p. 235, 2 *Ἴνδιος* repetitur p. 235, 2 *Μίνις*] *Μύνης* *Ker.* *Λειώκριτος* restitui ex Hom. *β* 242, *χ* 294: *λαόκριτος* S 17. *Νῖσος*? 17. *ἀρχέστατος* S, corr. *Ker.* 17 s. facile sentis originem nominum ex initio catalogi (p. 234, 1 s.) repetitorum: nimirum integer codicis archetypi versus, qui erat -*μάχος* *Εὐρύαλος* *Πάραλος* (hic *περίαλλος*) *Εὐηνορίδης* *Κλύτιος* *Ἀγήνωρ* perperam

αλλος Εὐηνορίδης, Κλυτίος Ἀγήνωρ] Πόλυβος Πολύδωρος
Θαδύτιος, Cτράτιος [Φρένιος Ἴνδιος] Δαισήνωρ Λαομέδων,
Λαόδικος Ἅλιος Μάγνης Ὀλοίτροχος Βάρθας, Θεόφρων
Νισσαῖος Ἀλκάροψ Περικλύμενος Ἀντήνωρ, Πέλλας Κέλ-
τος Περίφας Ὅρμενος Πόλυβος, Ἀνδρομήδης. ἐκ δὲ 30
αὐτῆς Ἰθάκης ἦσαν οἱ μνηστευόμενοι ιβʹ οἵδε· Ἀντίνοος
Πρόνοος Λειώδης Εὐρύνομος Ἀμφίμαχος, Ἀμφίαλος
Πρόμαχος Ἀμφιμέδων Ἀρίστρατος Ἕλενος, Δουλιχιεὺς
Κτήσιππος.

οὗτοι πορευόμενοι εἰς τὰ βασίλεια δαπανῶντες τὰς 31
Ὀδυσσέως ἀγέλας εὐωχοῦντο. Πηνελόπη δὲ ἀναγκαζο-
μένη τὸν γάμον ὑπέσχετο ὅτε τὸ ἐντάφιον Λαέρτῃ πέρας
ἕξει, καὶ τοῦτο ὕφηνεν ἐπὶ ἔτη τρία, μεθ' ἡμέραν μὲν
ὑφαίνουσα, νύκτωρ δὲ ἀναλύουσα. τοῦτον τὸν τρόπον
ἐξηπατῶντο οἱ μνηστῆρες ὑπὸ τῆς Πηνελόπης, μέχρις
ὅτε ἐφωράθη. Ὀδυσσεὺς δὲ μαθὼν τὰ κατὰ τὴν οἰκίαν, 32
ὡς ἐπαίτης πρὸς Εὔμαιον οἰκέτην ἀφικνεῖται, καὶ Τηλε-
μάχῳ ἀναγνωρίζεται, καὶ παραγίνεται εἰς τὴν πόλιν.
Μελάνθιος δὲ αὐτοῖς συντυχὼν ὁ αἰπόλος οἰκέτης ὑπάρ-
χων ἀτιμάζει. παραγενόμενος δὲ εἰς τὰ βασίλεια τοὺς
μνηστῆρας μετῄτει τροφήν, καὶ εὑρὼν μεταίτην Ἶρον
καλούμενον διαπαλαίει αὐτῷ. Εὐμαίῳ δὲ μηνύσας ἑαυ-
τὸν καὶ Φιλοιτίῳ, μετὰ τούτου καὶ Τηλεμάχου τοῖς μνη-

sic repetitus est, ut is cuius in locum cessit versus prorsus excideret. Unde licet concludere, qui in codice archetypo singulorum versuum, fortasse etiam, qui foliorum fuerit ambitus

1. *Κλύτιος* S *Πόλυβος* repetitur l. 5; fort. *Ἱππόλυτος*
2. *Θαλύτιος Büch.* *Φρένιος Ἴνδιος*] ex versus cuiusdam fine (p. 234, 16) male repetita esse videntur *δαισίνωρ* S, corr. *Ker.* 3. *ὁλοίροχος* S, corr. *Büch.* 4. *πέλας* S, corr. *Ker.* 6. *ιβʹ*] ut apud Homerum 7. *Ἀμφίμαχος*] v. p. 234, 1
8. *ἕλενος* S 9. *Κτήσιππος*] v. p. 234, 11 12. *ὅτε τὸ* in ras. S 13. *μεθημέραν* S 16. *ἐφοράθη* S, corr. *Ker.*
23. *καὶ Φιλοιτίῳ Büch.*: *καὶ τῷ παιδὶ Φιλοιτίου* S

33 στῆρσιν ἐπιβουλεύει. Πηνελόπη δὲ τοῖς μνηστῆρσι τίθη-
σιν Ὀδυσσέως τόξον, ὃ παρὰ Ἰφίτου ποτὲ ἔλαβε, καὶ τῷ
τοῦτο τείναντί φησι συνοικήσειν. μηδενὸς δὲ τεῖναι δυνα-
μένου, δεξάμενος Ὀδυσσεὺς τοὺς μνηστῆρας κατετόξευσε
σὺν Εὐμαίῳ καὶ Φιλοιτίῳ καὶ Τηλεμάχῳ. ἀνεῖλε δὲ καὶ
Μελάνθιον καὶ τὰς συνευναζομένας τοῖς μνηστῆρσι θερα-
παίνας, καὶ τῇ γυναικὶ καὶ τῷ πατρὶ ἀναγνωρίζεται.
34 θύσας δὲ Ἅιδῃ καὶ Περσεφόνῃ καὶ Τειρεσίᾳ, πεζῇ
διὰ τῆς Ἠπείρου βαδίζων εἰς Θεσπρωτοὺς παραγίνεται
καὶ κατὰ τὰς Τειρεσίου μαντείας θυσιάσας ἐξιλάσκεται
Ποσειδῶνα. ἡ δὲ βασιλεύουσα τότε Θεσπρωτῶν Καλλι-
δίκη καταμένειν αὐτὸν ἠξίου τὴν βασιλείαν αὐτῷ δοῦσα.
35 καὶ συνελθοῦσα αὐτῷ γεννᾷ Πολυποίτην. γήμας δὲ Καλ-
λιδίκην Θεσπρωτῶν ἐβασίλευσε καὶ μάχῃ τῶν περιοίκων
νικᾷ τοὺς ἐπιστρατεύσαντας. Καλλιδίκης δὲ ἀποθανούσης,
τῷ παιδὶ τὴν βασιλείαν ἀποδιδοὺς εἰς Ἰθάκην παραγίνε-
ται, καὶ εὑρίσκει ἐκ Πηνελόπης Πολιπόρθην αὐτῷ γεγεν- p. 181, 1
36 νημένον. Τηλέγονος δὲ παρὰ Κίρκης μαθὼν ὅτι παῖς
Ὀδυσσέως ἐστίν, ἐπὶ τὴν τούτου ζήτησιν ἐκπλεῖ. παρα-
γενόμενος δὲ εἰς Ἰθάκην τὴν νῆσον ἀπελαύνει τινὰ τῶν
βοσκημάτων, καὶ Ὀδυσσέα βοηθοῦντα τῷ μετὰ χεῖρας
δόρατι Τηλέγονος ⟨τρυγόνος⟩ κέντρον τὴν αἰχμὴν ἔχοντι
37 τιτρώσκει, καὶ Ὀδυσσεὺς θνήσκει. ἀναγνωρισάμενος δὲ
αὐτὸν καὶ πολλὰ κατοδυράμενος, τὸν νεκρὸν ⟨καὶ⟩ τὴν
Πηνελόπην πρὸς Κίρκην ἄγει, κἀκεῖ τὴν Πηνελόπην

3. *τείναντι φησὶ* S 10. *τοῦ ειρεσίου* S, corr. *Ker.* 12. *διδοῦσα Büch.* 17. *γεγενημένην* S, correxi ex Paus. VIII 12, 6; *γεγεννημένην Ker.* 18. post *Τηλέγονος* verba *ὁ ἐκ τῆς Κίρκης υἱὸς Ὀδυσσέως*, quae in margine perhibet S, rursus in marginem relegavi 20. *ἀπέλαυε* S: *ἀπελαύνει Büch.*, *ἀπέλαβε Ker.* 22. *τρυγόνος* add. *Büch.* 24. *καὶ* addidi ex argumento Telegoniae, ubi Telemachus quoque adiectus est.

γαμεῖ. Κίρκη δὲ ἑκατέρους αὐτοὺς εἰς Μακάρων νήσους ἀποστέλλει.

τινὲς δὲ Πηνελόπην ὑπὸ Ἀντινόου φθαρεῖσαν λέ- 38
γουσιν ὑπὸ Ὀδυσσέως πρὸς τὸν πατέρα Ἰκάριον ἀπο-
σταλῆναι, γενομένην δὲ τῆς Ἀρκαδίας κατὰ Μαντίνειαν
ἐξ Ἑρμοῦ τεκεῖν Πᾶνα· ἄλλοι δὲ δι' Ἀμφίνομον ὑπὸ 39
Ὀδυσσέως αὐτοῦ τελευτῆσαι· διαφθαρῆναι γὰρ αὐτὴν
ὑπὸ τούτου λέγουσιν. εἰσὶ δὲ οἱ λέγοντες ἐγκαλούμενον 40
Ὀδυσσέα ὑπὸ τῶν οἰκείων ὑπὲρ τῶν ἀπολωλότων δικαστὴν Νεοπτόλεμον λαβεῖν τὸν βασιλεύοντα τῶν κατὰ τὴν Ἤπειρον νήσων, τοῦτον δέ, νομίσαντα ἐκποδὼν Ὀδυσσέως γενομένου Κεφαλληνίαν καθέξειν, κατακρῖναι φυγὴν αὐτοῦ, Ὀδυσσέα δὲ εἰς Αἰτωλίαν πρὸς Θόαντα τὸν Ἀνδραίμονος παραγενόμενον τὴν τούτου θυγατέρα γῆμαι, καὶ καταλιπόντα παῖδα Λεοντοφόνον ἐκ ταύτης γηραιὸν τελευτῆσαι.

5. *γενομένης* S, corr. *Büch.* *Μαντίνειαν* *Büch.*: *μαντείαν* S (conf. Paus. VIII 12, 6) 6. *πάνα* S 7. *αὐτὸν* S, corr. *Büch.* 11. *ἐκποδῶν* S 12. *κεφαληνίαν* S *κατακρίναι* S 13. *θόεντα* S, corr. *Büch.*

PROCLI EXCERPTA
EX
CYCLI EPICI CARMINIBUS.

Appendix ad apparatum criticum.

[Consensus cum Apollodoro litteris obliquis (*Ζεύς*) et, ubi ad ipsa verba eorumque structuram pertinet similitudo, typis diductis (Z ε ύ ς) significatur. Typis erectis (Ζεύς) expressa a bibliotheca absunt.]

I. *Κύπρια.*

Apollod. ep. 3, 1 ... *Ζεὺς βουλεύεται* μετὰ τῆς Θέμιδος *περὶ τοῦ Τρωικοῦ πολέμου. παραγενομένη δὲ Ἔρις* εὐωχουμένων τῶν θεῶν ἐν τοῖς Πηλέως γάμοις *νεῖκος περὶ κάλλους*
2 *ἐνίστησιν Ἀθηνᾷ Ἥρᾳ καὶ Ἀφροδίτῃ, αἳ πρὸς Ἀλέξανδρον ἐν Ἴδῃ κατὰ Διὸς προσταγὴν ὑφ' Ἑρμοῦ πρὸς τὴν κρίσιν ἄγονται· καὶ προκρίνει τὴν Ἀφροδίτην ἐπαρθεὶς τοῖς Ἑλένης γάμοις Ἀλέξανδρος. ἔπειτα δὲ* Ἀφροδίτης ὑποθεμένης *ναυπηγεῖται,* καὶ Ἕλενος περὶ τῶν μελλόντων αὐτῷ προθεσπίζει. καὶ ἡ Ἀφροδίτη Αἰνείαν συμπλεῖν αὐτῷ κελεύει. καὶ Κασσάνδρα περὶ τῶν μελλόντων προδηλοῖ. ἐπιβὰς δὲ τῇ

1.] quae de ipsis carminibus Proclus singulis capitibus praescripsit, hic non recepi.

Λακεδαιμονίᾳ Ἀλέξανδρος ξενίζεται παρὰ τοῖς Τυνδαρί-
δαις, *καὶ μετὰ ταῦτα ἐν τῇ Σπάρτῃ παρὰ Μενελάῳ·*
καὶ Ἑλένῃ παρὰ τὴν εὐωχίαν δίδωσι δῶρα ὁ Ἀλέξανδρος. 8, 3
καὶ μετὰ ταῦτα Μενέλαος εἰς Κρήτην ἐκπλεῖ, κελεύσας
τὴν Ἑλένην τοῖς ξένοις τὰ ἐπιτήδεια παρέχειν, ἕως ἂν
ἀπαλλαγῶσιν. ἐν τούτῳ δὲ Ἀφροδίτη συνάγει τὴν Ἑλέ-
νην τῷ Ἀλεξάνδρῳ. καὶ μετὰ τὴν μῖξιν *τὰ πλεῖστα*
κτήματα ἐνθέμενοι νυκτὸς ἀποπλέουσι. χειμῶνα 4
δὲ αὐτοῖς ἐφίησιν Ἥρα· καὶ προσενεχθεὶς Σιδῶνι ὁ
Ἀλέξανδρος αἱρεῖ τὴν πόλιν. καὶ ἀποπλεύσας εἰς Ἴλιον
γάμους τῆς Ἑλένης ἐπετέλεσεν.

Ἐν τούτῳ δὲ Κάστωρ μετὰ Πολυδεύκους τὰς Ἴδα (conf. bibl. III 136 s.)
καὶ Λυγκέως βοῦς ὑφαιρούμενοι ἐφωράθησαν. καὶ Κά-
στωρ μὲν ὑπὸ τοῦ Ἴδα ἀναιρεῖται, Λυγκεὺς δὲ καὶ
Ἴδας ὑπὸ Πολυδεύκους· καὶ Ζεὺς αὐτοῖς ἑτερήμερον
νέμει τὴν ἀθανασίαν.

καὶ μετὰ ταῦτα Ἶρις *ἀγγέλλει τῷ Μενελάῳ τὰ* 6
γεγονότα κατὰ τὸν οἶκον. ὁ δὲ παραγενόμενος περὶ
τῆς ἐπ' Ἴλιον στρατείας βουλεύεται μετὰ τοῦ ἀδελφοῦ.
καὶ πρὸς Νέστορα παραγίνεται Μενέλαος. Νέστωρ δὲ
ἐν παρεκβάσει διηγεῖται αὐτῷ, ὡς Ἐπωπεὺς φθείρας τὴν
Λύκου θυγατέρα ἐξεπορθήθη, καὶ τὰ περὶ Οἰδίπουν καὶ
τὴν Ἡρακλέους μανίαν καὶ τὰ περὶ Θησέα καὶ Ἀριάδ-
νην. *ἔπειτα τοὺς ἡγεμόνας ἀθροίζουσιν ἐπελθόντες*
τὴν Ἑλλάδα. καὶ μαίνεσθαι προσποιησάμενον 7
τὸν Ὀδυσσέα ἐπὶ τῷ μὴ θέλειν συστρατεύεσθαι

7 ss.] conf. Iliadis argum. Borbon. (Epit. Vat. p. 298): *οὐκ εὐθὺς ἐπὶ τὸ Ἴλιον διαβαίνει, ἀλλὰ πλησιάσας τινὶ τῶν νήσων ἐπ' Αἰγύπτῳ καὶ Φοινίκῃ πλανηθῆναι πρότερον.* 9. *ἐφίησι* *Welckerus*: *ἐφίστησι* codd. (*ἐπιπέμπει* Apollod.) 18. *παραγενόμενος*] *εἰς Μυκήνας* adde ex Apollod.

*ἐφώρασαν, Παλαμήδους ὑποθεμένου τὸν υἱὸν Τηλέ-
μαχον ἐπὶ κόλουσιν ἐξαρπάσαντες.*

8, 15 *καὶ μετὰ ταῦτα συνελθόντες εἰς Αὐλίδα θύουσι·
καὶ τὰ περὶ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς
γενόμενα δείκνυται, καὶ Κάλχας περὶ τῶν ἀποβησομέ-*
17 *νων προλέγει αὐτοῖς. ἔπειτα ἀναχθέντες Τευθρανίᾳ
προσίσχουσι καὶ ταύτην ὡς Ἴλιον ἐπόρθουν. Τή-
λεφος δὲ ἐκβοηθεῖ, Θέρσανδρόν τε τὸν Πολυνεί-
κους κτείνει καὶ αὐτὸς ὑπὸ Ἀχιλλέως τιτρώσκεται.*
18 *ἀποπλέουσι δὲ αὐτοῖς ἐκ τῆς Μυσίας χειμὼν ἐπι-
πίπτει καὶ διασκεδάννυνται.* Ἀχιλλεὺς δὲ Σκύρῳ προσ-
19 σχὼν γαμεῖ τὴν Λυκομήδους θυγατέρα Δηιδάμειαν. *ἔπειτα
Τήλεφον κατὰ μαντείαν παραγενόμενον εἰς Ἄργος ἰᾶται
Ἀχιλλεὺς ὡς ἡγεμόνα γενησόμενον τοῦ ἐπ' Ἴλιον πλοῦ.*

21 *καὶ τὸ δεύτερον ἠθροισμένου τοῦ στόλου ἐν
Αὐλίδι, Ἀγαμέμνων ἐπὶ θήρας βαλὼν ἔλαφον ὑπερ-
βάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν. μηνίσασα δὲ ἡ θεὸς
ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ χειμῶνας ἐπιπέμπουσα. Κάλ-
χαντος δὲ εἰπόντος τὴν τῆς θεοῦ μῆνιν καὶ Ἰφιγένειαν*
22 *κελεύσαντος θύειν τῇ Ἀρτέμιδι, ὡς ἐπὶ γάμον αὐτὴν
Ἀχιλλεῖ μεταπεμψάμενοι θύειν ἐπιχειροῦσιν. Ἄρτεμις
δὲ αὐτὴν ἐξαρπάσασα εἰς Ταύρους μετακομίζει
καὶ ἀθάνατον ποιεῖ, ἔλαφον δὲ ἀντὶ τῆς κόρης
παρίστησι τῷ βωμῷ.*

23 *ἔπειτα καταπλέουσιν εἰς Τένεδον. καὶ εὐωχουμέ-*
26 s. *νων αὐτῶν Φιλοκτήτης ὑφ' ὕδρου πληγεὶς διὰ τὴν
δυσοσμίαν ἐν Λήμνῳ κατελείφθη.* καὶ Ἀχιλλεὺς ὕστερος
29 s. κληθεὶς διαφέρεται πρὸς Ἀγαμέμνονα. *ἔπειτα ἀποβαί-
νοντας αὐτοὺς εἰς Ἴλιον εἴργουσιν οἱ Τρῶες, καὶ*

2. *κόλουσιν Welckerus: κόλασιν* codd.

θνήσκει Πρωτεσίλαος ὑφ' Ἕκτορος. ἔπειτα Ἀχιλ- 8, 31
λεὺς αὐτοὺς τρέπεται ἀνελὼν Κύκνον τὸν Ποσειδῶνος,
καὶ τοὺς νεκροὺς ἀναιροῦνται. καὶ διαπρεσβεύονται 28
πρὸς τοὺς Τρῶας τὴν Ἑλένην καὶ τὰ κτήματα
ἀπαιτοῦντες. ὡς δὲ οὐχ ὑπήκουσαν ἐκεῖνοι, ἐνταῦθα 31
δὴ τειχομαχοῦσιν. ἔπειτα τὴν χώραν ἐπεξελθόντες πορ- 32 s.
θοῦσι καὶ τὰς περιοίκους πόλεις. καὶ μετὰ ταῦτα
Ἀχιλλεὺς Ἑλένην ἐπιθυμεῖ θεάσασθαι, καὶ συνήγαγεν αὐ-
τοὺς εἰς τὸ αὐτὸ Ἀφροδίτη καὶ Θέτις. εἶτα ἀπονοστεῖν
ὡρμημένους τοὺς Ἀχαιοὺς Ἀχιλλεὺς κατέχει. *κἄπειτα*
ἀπελαύνει τὰς Αἰνείου βόας, καὶ Λυρνησὸν καὶ
Πήδασον *πορθεῖ καὶ σύχνας τῶν περιοικίδων πόλεων,*
καὶ Τρωίλον φονεύει. Λυκάονά τε Πάτροκλος εἰς
Λῆμνον ἀγαγὼν ἀπεμπολᾷ· καὶ ἐκ τῶν λαφύρων Ἀχιλ-
λεὺς μὲν Βρισηίδα γέρας λαμβάνει, Χρυσηίδα δὲ Ἀγα-
μέμνων. ἔπειτά ἐστι Παλαμήδους θάνατος καὶ Διὸς βουλὴ
ὅπως ἐπικουφίσει τοὺς Τρῶας Ἀχιλλέα τῆς συμμαχίας
τῆς Ἑλληνικῆς ἀποστήσας, *καὶ κατάλογος τῶν τοῖς* 34 s.
Τρωσὶ συμμαχησόντων.

II. *Αἰθιοπίς.*

... *Ἀμαζὼν Πενθεσίλεια παραγίνεται Τρωσὶ συμ-* 5, 1
μαχήσουσα, Ἄρεως μὲν θυγάτηρ, Θρᾷσσα δὲ τὸ γένος.
καὶ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς, οἱ δὲ Τρῶες
αὐτὴν θάπτουσι. καὶ Ἀχιλλεὺς Θερσίτην ἀναιρεῖ, λοι-
δορηθεὶς πρὸς αὐτοῦ καὶ ὀνειδισθεὶς τὸν ἐπὶ τῇ Πεν-
θεσιλείᾳ λεγόμενον ἔρωτα· καὶ ἐκ τούτου στάσις γίνεται
τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. μετὰ δὲ ταῦτα

3 ss.] apud Apollodorum Achivi iam, cum Tenedi morarentur, Ulixem et Menelaum Troiam miserant (conf. Epit. Vat. p. 197) 19. *συμμαχησόντων Welckerus*: *συμμαχησάντων* codd.

Ἀχιλλεὺϲ εἰϲ Λέϲβον πλεῖ, καὶ θύϲαϲ Ἀπόλλωνι καὶ
Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυϲϲέωϲ.
5, 8 *Μέμνων δὲ ὁ Ἠοῦς υἱός,* ἔχων ἡφαιϲτότευκτον
πανοπλίαν, *παραγίνεται τοῖς Τρωσὶ βοηθήσων·* καὶ
Θέτιϲ τῷ παιδὶ τὰ κατὰ τὸν Μέμνονα προλέγει. *καὶ*
συμβολῆς γενομένης Ἀντίλοχος ὑπὸ Μέμνονος ἀναι-
ρεῖται, ἔπειτα Ἀχιλλεὺς Μέμνονα κτείνει· καὶ τούτῳ
μὲν Ἠὼϲ παρὰ Διὸϲ αἰτηϲαμένη ἀθαναϲίαν δίδωϲι. *τρε-*
ψάμενος δ' Ἀχιλλεὺς τοὺς Τρῶας καὶ εἰς τὴν πόλιν
συνεισπεσὼν ὑπὸ Πάριδος ἀναιρεῖται καὶ Ἀπόλλω-
4 *νος καὶ περὶ τοῦ πτώματος γενομένης ἰσχυρᾶς*
μάχης, Αἴας ἀνελόμενος ἐπὶ τὰς ναῦς κομίζει,
Ὀδυσσέως ἀπομαχομένου τοῖς Τρωσίν. ἔπειτα Ἀν-
τίλοχόν τε θάπτουϲι καὶ τὸν νεκρὸν τοῦ Ἀχιλλέωϲ προ-
τίθενται· καὶ Θέτιϲ ἀφικομένη ϲὺν Μούϲαιϲ καὶ ταῖϲ
ἀδελφαῖϲ θρηνεῖ τὸν παῖδα. καὶ μετὰ ταῦτα ἐκ τῆϲ
πυρᾶϲ ἡ Θέτιϲ ἀναρπάϲαϲα τὸν παῖδα *εἰς τὴν Λευκὴν*
5 *νῆσον* διακομίζει· *οἱ ⌊δὲ Ἀχαιοὶ τὸν τάφον χώσαντες*
6 s. *ἀγῶνα τιθέασι, καὶ περὶ τῶν Ἀχιλλέως ὅπλων Ὀδυσσεῖ*
καὶ Αἴαντι στάσις ἐμπίπτει.

III. *Ἰλιὰς μικρά.*

... *Ἡ τῶν ὅπλων κρίσις γίνεται καὶ Ὀδυσσεὺς*
κατὰ βούλησιν Ἀθηνᾶς λαμβάνει, Αἴας δ' ἐμμανὴς
γενόμενος· τήν τε λείαν τῶν Ἀχαιῶν λυμαίνεται καὶ
9 s. *ἑαυτὸν ἀναιρεῖ. μετὰ ταῦτα Ὀδυσσεὺς λοχήσας Ἕλενον*
λαμβάνει, καὶ χρήσαντος περὶ τῆς ἁλώσεως τούτου
8 *Διομήδης ἐκ Λήμνου Φιλοκτήτην ἀνάγει. ἰαθεὶς δὲ*

17 s. *εἰς τὴν Λευκὴν νῆσον*] conf. p. 204, 5 adn. 24 ss.] de rerum ordine in bibliotheca mutato conf. Epit. Vat. p. 217 ss.

οὗτος ὑπὸ Μαχάονος *καὶ μονομαχήσας Ἀλεξάνδρῳ*
κτείνει· καὶ τὸν νεκρὸν ὑπὸ Μενελάου καταικισθέντα
ἀνελόμενοι θάπτουσιν οἱ Τρῶες. *μετὰ δὲ ταῦτα Δηίφοβος* 5,9
Ἑλένην γαμεῖ. καὶ Νεοπτόλεμον Ὀδυσσεὺς ἐκ Σκύρου 11
ἀγαγὼν τὰ ὅπλα δίδωσι τὰ τοῦ πατρός. καὶ Ἀχιλλεὺς
αὐτῷ φαντάζεται. *Εὐρύπυλος δὲ ὁ Τηλέφου ἐπίκουρος* 12
τοῖς Τρωσὶ παραγίνεται, καὶ ἀριστεύοντα αὐτὸν
ἀποκτείνει Νεοπτόλεμος.

καὶ οἱ Τρῶες πολιορκοῦνται· καὶ Ἐπειὸς κατ' 14
Ἀθηνᾶς προαίρεσιν τὸν δούρειον ἵππον κατασκευ-
άζει. Ὀδυσσεύς τε αἰκισάμενος ἑαυτὸν κατάσκοπος 13
εἰς Ἴλιον παραγίνεται καὶ ἀναγνωρισθεὶς ὑφ' Ἑλέ-
νης περὶ τῆς ἁλώσεως τῆς πόλεως συντίθεται· κτείνας
τέ τινας τῶν Τρώων ἐπὶ τὰς ναῦς ἀφικνεῖται. καὶ 14
μετὰ ταῦτα σὺν Διομήδει τὸ παλλάδιον ἐκκομίζει ἐκ τῆς
Ἰλίου. ἔπειτα εἰς τὸν δούρειον ἵππον τοὺς ἀρίστους 15
ἐμβιβάσαντες τάς τε σκηνὰς καταφλέξαντες οἱ λοιποὶ
τῶν Ἑλλήνων εἰς Τένεδον ἀνάγονται. οἱ δὲ Τρῶες 16
τῶν κακῶν ὑπολαβόντες ἀπηλλάχθαι τόν τε δούρειον
ἵππον εἰς τὴν πόλιν εἰσδέχονται, διελόντες μέρος τι
τοῦ τείχους, *καὶ εὐωχοῦνται ὡς νενικηκότες τοὺς*
Ἕλληνας.

IV. *Ἰλίου πέρσις.*

. . . *Ὡς τὰ περὶ τὸν ἵππον οἱ Τρῶες ὑπόπτως ἔχοντες*
περιστάντες βουλεύονται ὅ τι χρὴ ποιεῖν, καὶ τοῖς 17
μὲν δοκεῖ κατακρημνίσαι αὐτόν, τοῖς δὲ καταφλέγειν, *οἱ*

10 ss.] Apollodorus has duas Ulixis expeditiones in unam contraxit, quam factam esse refert, antequam equus ligneus fabricaretur (Epit. Vat. p. 225 ss.). Attamen eisdem verbis usus est, quae in carminis epitoma invenerat.

δὲ ἱερὸν αὐτὸν ἔφασαν δεῖν τῇ Ἀθηνᾷ ἀνατεθῆναι· καὶ
τέλος νικᾷ ἡ τούτων γνώμη. τραπέντες δὲ εἰς εὐ-
φροσύνην εὐωχοῦνται ὡς ἀπηλλαγμένοι τοῦ πολέμου.
5, 18 ἐν αὐτῷ δὲ τούτῳ δύο δράκοντες ἐπιφανέντες τόν τε
Λαοκόωντα καὶ τὸν ἕτερον τῶν παίδων διαφθείρουσιν.
ἐπὶ δὲ τῷ τέρατι δυςφορήςαντες οἱ περὶ τὸν Αἰνείαν
19 ὑπεξῆλθον εἰς τὴν Ἴδην. καὶ Σίνων τοὺς πυρσοὺς
(15) ἀνίσχει τοῖς Ἀχαιοῖς, πρότερον εἰσεληλυθὼς προσποίη-
τος. οἱ δὲ ἐκ Τενέδου προσπλεύσαντες καὶ οἱ ἐκ
20 τοῦ δουρείου ἵππου ἐπιπίπτουσι τοῖς πολεμίοις, καὶ
πολλοὺς ἀνελόντες τὴν πόλιν κατὰ κράτος λαμβάνουσι.
21 καὶ Νεοπτόλεμος μὲν ἀποκτείνει Πρίαμον ἐπὶ
τὸν τοῦ Διὸς τοῦ ἑρκείου βωμὸν καταφυγόντα·
22 Μενέλαος δὲ ἀνευρὼν Ἑλένην ἐπὶ τὰς ναῦς κατά-
γει Δηίφοβον φονεύσας. Κασσάνδραν δὲ Αἴας ὁ Ἰλέως
πρὸς βίαν ἀποσπῶν συνεφέλκεται τὸ τῆς Ἀθηνᾶς
ξόανον.

23 καὶ Ὀδυσσέως Ἀστυάνακτα ἀνελόντος Νεοπτόλεμος
Ἀνδρομάχην γέρας λαμβάνει, καὶ τὰ λοιπὰ λάφυρα
22 διανέμονται. Δημοφῶν δὲ καὶ Ἀκάμας Αἴθραν εὑρόν-
23 τες ἄγουσι μεθ' ἑαυτῶν. ἔπειτα ἐμπρήσαντες τὴν

4. non pater, sed uterque filius occiditur apud Apollodorum 18. — p. 245, 7] post verba τὸ τῆς Ἀθηνᾶς ξόανον haec leguntur in cod. Ven. 454: ἐφ' ᾧ παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βουλεύονται τὸν Αἴαντα· ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς βωμὸν καταφεύγει καὶ διασώζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου. ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται. καὶ Ὀδυσσέως — ἐπὶ τὸν τοῦ Ἀχιλλέως τάφον (p. 245, 2). Equidem Apollodorum secutus genuinum rerum conexum restituisse mihi videor (conf. Epit. Vat. p. 249 ss., Mus. Rhen. XLVI p. 406 s.) 20. Aethram in ipsa urbis expugnatione memorat Apollodorus (conf. Epit. Vat. p. 240 ss.)
21 s.] urbis incendium et Polyxenae mactatio in bibliotheca ante praedae distributionem narrantur (Epit. Vat. p. 244)

πόλιν Πολυξένην σφαγιάζουσιν ἐπὶ τὸν τοῦ
Ἀχιλλέως τάφον. ⟨*καὶ ἐπὶ τῷ Αἴαντος ἀδικήματι*⟩ 5, 25
παροξυνθέντες οἱ Ἕλληνες καταλεῦσαι βουλεύονται τὸν
Αἴαντα· ὁ δὲ ἐπὶ τὸν τῆς Ἀθηνᾶς *βωμὸν καταφεύ-*
γει καὶ διασῴζεται ἐκ τοῦ ἐπικειμένου κινδύνου.
ἔπειτα ἀποπλέουσιν οἱ Ἕλληνες, καὶ φθορὰν αὐτοῖς ἡ
Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται.

V. *Νόστοι.*

... *Ἀθηνᾶ Ἀγαμέμνονα καὶ Μενέλαον εἰς ἔριν* 6, 1
καθίστησι περὶ τοῦ ἔκπλου. Ἀγαμέμνων μὲν οὖν τὸν
τῆς Ἀθηνᾶς ἐξιλασόμενος χόλον ἐπιμένει, Διομήδης
δὲ καὶ Νέστωρ ἀναχθέντες εἰς τὴν οἰκείαν διασῴ-
ζονται. μεθ' οὓς ἐκπλεύσας ὁ Μενέλαος μετὰ πέντε
νεῶν εἰς Αἴγυπτον παραγίνεται, τῶν λοιπῶν δια-
φθαρεισῶν νεῶν ἐν τῷ πελάγει. οἱ δὲ περὶ Κάλ- 2 ss.
χαντα καὶ Λεοντέα καὶ Πολυποίτην πεζῇ πο-
ρευθέντες εἰς Κολοφῶνα Κάλχαντα ἐνταῦθα
τελευτήσαντα θάπτουσι. τῶν δὲ περὶ τὸν Ἀγα- 5
μέμνονα ἀποπλεόντων Ἀχιλλέως εἴδωλον ἐπιφανὲν πει-
ρᾶται διακωλύειν, προλέγον τὰ συμβησόμενα. *εἶθ' ὁ* 6
περὶ τὰς Καφηρίδας πέτρας δηλοῦται χειμὼν καὶ ἡ
Αἴαντος φθορὰ τοῦ Λοκροῦ. Νεοπτόλεμος δὲ Θέ- 12
τιδος ὑποθεμένης πεζῇ ποιεῖται τὴν πορείαν, καὶ
παραγενόμενος εἰς Θρᾴκην Ὀδυσσέα καταλαμβάνει ἐν τῇ
Μαρωνείᾳ, *καὶ τὸ λοιπὸν ἀνύει τῆς ὁδοῦ, καὶ τελευ-* 13
τήσαντα Φοίνικα θάπτει· αὐτὸς δὲ εἰς Μολοσσοὺς
ἀφικόμενος ἀναγνωρίζεται Πηλεῖ. ἔπειτα Ἀγαμέμνονος 23 ss.

6 s. legebatur fortasse: *ἔπειτα ἀποπλέουσι τοῖς Ἕλλησι φθορὰν ἡ Ἀθηνᾶ κατὰ τὸ πέλαγος μηχανᾶται* 17. *Κάλχαντα Meinekius*: *Τειρεσίαν* codd. (conf. Epit. Vat. p. 256 adn. 4)

ὑπὸ Αἰγίσθου καὶ Κλυταιμνήστρας ἀναιρεθέντος ὑπ'
Ὀρέστου καὶ Πυλάδου τιμωρία, καὶ Μενελάου εἰς τὴν
6, 29s. *οἰκείαν ἀνακομιδή.*

VI. *Τηλεγονία.*

Οἱ μνήστορες ὑπὸ τῶν προσηκόντων θάπτονται.
καὶ Ὀδυσσεὺς θύσας νύμφαις εἰς Ἦλιν ἀποπλεῖ ἐπισκε-
ψόμενος τὰ βουκόλια, καὶ ξενίζεται παρὰ Πολυξένῳ,
δῶρόν τε λαμβάνει κρατῆρα, καὶ ἐπὶ τούτῳ τὰ περὶ Τρο-
7,34 φώνιον καὶ Ἀγαμήδην καὶ Αὐγέαν. *ἔπειτα εἰς Ἰθάκην*
καταπλεύσας τὰς ὑπὸ Τειρεσίου ῥηθείσας τελεῖ θυσίας.
καὶ μετὰ ταῦτα εἰς Θεσπρωτοὺς ἀφικνεῖται καὶ γαμεῖ
Καλλιδίκην βασιλίδα τῶν Θεσπρωτῶν. ἔπειτα πόλεμος
συνίσταται τοῖς Θεσπρωτοῖς πρὸς Βρυγοὺς Ὀδυσσέως
ἡγουμένου. ἐνταῦθα Ἄρης τοὺς περὶ τὸν Ὀδυσσέα τρέ-
35 πεται καὶ αὐτῷ εἰς μάχην Ἀθηνᾶ καθίσταται. τούτους
μὲν Ἀπόλλων διαλύει· *μετὰ δὲ τὴν Καλλιδίκης τελευ-*
τὴν τὴν μὲν βασιλείαν διαδέχεται Πολυποίτης Ὀδυσ-
σέως υἱός, αὐτὸς δ' εἰς Ἰθάκην ἀφικνεῖται. κἀν τούτῳ
Τηλέγονος ἐπὶ ζήτησιν τοῦ πατρὸς πλέων, ἀποβὰς
εἰς τὴν Ἰθάκην τέμνει τὴν νῆσον. ἐκβοηθήσας δ'
Ὀδυσσεὺς ὑπὸ τοῦ παιδὸς ἀναιρεῖται κατ' ἄγνοιαν.
36 *Τηλέγονος δ' ἐπιγνοὺς τὴν ἁμαρτίαν τό τε τοῦ πατρὸς*
σῶμα καὶ τὸν Τηλέμαχον *καὶ τὴν Πηνελόπην πρὸς τὴν*
μητέρα μεθίστησιν. ἡ δὲ αὐτοὺς ἀθανάτους ποιεῖ,
καὶ συνοικεῖ τῇ μὲν Πηνελόπῃ Τηλέγονος, Κίρκῃ δὲ
Τηλέμαχος.

9 s.] sacra a Tiresia iussa Ulixes apud Apollodorum non Ithacae, sed in Thesprotiis perpetrat (conf. Mus. Rhen. XLVI p. 413 s.) 22 s. *τό τε τοῦ πατρὸς σῶμα*] conf. p. 236, 24 adn.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΠΕΔΙΑΣΙΜΟΥ

ΠΕΡΙ ΤΩΝ ΔΩΔΕΚΑ ΑΘΛΩΝ

ΤΟΥ ΗΡΑΚΛΕΟΥΣ

R Vratislaviensis-Rhedigeranus 30
S Vindobonensis IV 195
T Marcianus 514
P Palatinus-Vaticanus 228

V Vaticanus 1386
M Marcianus catal. suppl. IX, 6

All. *Allatius* (1641)
West. *Westermannus* (1843)

* asterisco insignivi, quae nunc primum in textum recepi.

Τοὺς Ἡρακλείους ἀνδρικοὺς δεκαδύο ἐντεῦθεν
ἐκμάνθανε † φιλότης . . .
τὸν ἐν Νεμέᾳ λέοντα, ὕδραν, ἔλαφον, κάπρον,
κόπρον Αὐγείου κάθαρσιν, ὄρνιθας Στυμφαλίδας,
ταῦρον τὸν Κρήτηθεν, ἵππους Θρᾳκικὰς Διομήδους,
ζωστῆρα Ἱππολύτης τε, βόας τε Γηρυόνου,
μῆλα τὰ Ἑσπερίδων τε, Κέρβερόν τε τὸν κύνα,
ὁ Ἡρακλῆς τετέλεκε δυοκαίδεκα ἄθλους.

Apollod. bibl. II 72
I. [Περὶ τοῦ ἐν Νεμέᾳ λέοντος.] Ἐξέμηνε τὸν 1
Διὸς Ἡρακλῆν τὸ τῆς Ἥρας ζηλότυπον. εἰς δὲ Πυθῶνα
μολών, ὅπως ἀνανήψειε τῆς μελαγχολίας, πυνθάνεται,
73 καί οἱ χρᾷ τὸ δαιμόνιον Εὐρυσθεῖ τε λατρεύειν τῷ

Plenam inscriptionem perhibet S (et haud dubie T): † τοῦ βουλγαρίου χαρτοφύλακος καὶ ὑπάτου τῶν φιλοσόφων, κυρίου (?) ἰωάννου διακόνου τοῦ πεδιασίμου. Reliquis haec inscriptio simul cum nomine auctoris excidit; nam R titulo omnino caret, P simpliciter suprascripsit: ἆθλα τοῦ ἡρακλέους, quaeque leguntur in VM: διὰ στίχου οἱ δώδεκα ἀγῶνες τοῦ ἡρακλέους, ad versus tantum pertinent, qui narrationi praemissi sunt.

1 s. τοὺς — φιλότης RS, omittunt reliqui. Hos quoque versus politicos esse cognovit *West.* 1. ἡρακλείους *RS: Ἡρακλέους ed. *West.* 2. post corruptam vocem φιλότης lacunae signum posui 3. νεμαία R 5. θρακικοὺς S 6. ὑπολίτης S βόας τὰς γηριόνου P βόας τοῦ γυριόνου R 7. τε post Ἑσπερίδων om. RS 8. δυοκαίδεκα * codd.: δύο καὶ δέκα edd. 9. singulorum capitum inscriptiones quas soli perhibent VM (voce περὶ ubique omissa), non ab ipso Pediasimo adiecta esse apparet ex p. 250, 20, ubi titulus loco minus apto insertus rerum conexum interrumpit 10. πυθῶνα VM: τὸν πύθωνα P πυθῶν S πυθὼν R 12. χρᾷ τὸ] χρᾶται R man. 1 λατρεύειν (λατρεύοντα Apollod.)] λατρεύσειν R δουλεύειν VM

ἐκ Περσέως ἀνέκαθεν καὶ τὸ προσταττόμενον ἀπαραι-
2 τήτως τελεῖν. καταλαμβάνει τοίνυν τὴν Τίρυνθα, καὶ 74
δουλαγωγούμενος Εὐρυσθεῖ τὸν τοῦ Νεμείου λέοντος
φόνον πρῶτον ἆθλον τελεῖν ἐπιτάττεται. θὴρ δὲ οὗτος
χαλκῷ μὲν ἄτρωτος, ἐκ Τυφῶνος δὲ τὴν γένεσιν εἰλη-
3 φώς. μέλλων τοίνυν καταλαμβάνειν τὴν Νεμέαν εἰς
Κλεωνὰς ἔρχεται, καί τινι χερνήτῃ περιτυχὼν θύειν
Διὶ μέλλοντι τὴν θυσίαν εἰς ἡμέραν ὑπερθέσθαι τρια-
κοστὴν ἀξιοῖ, κἂν μὲν παλίνοστος ἵκηται θύειν Σω-
τῆρι Διί, ἐναγίζειν δ' ὡς ἥρωι μὴ περιγενομένῳ τοῦ
4 λέοντος. καταλαμβάνει μετὰ Κλεωνὰς Νεμέαν, μαστεύει 75
τὸν θῆρα, τοξεύει πρῶτον, ὡς δ' ἐκ τῆς πείρας ἔμα-
θεν ἄτρωτον, διώκει τὸ ῥόπαλον ἐντεινάμενος· συμφυ-
γόντος δὲ πρὸς ἀμφίστομον σπήλαιον τὴν ἑτέραν ἀπ-
έκλεισεν εἴσοδον, ἐπιὼν δὲ τῷ θηρίῳ διὰ θατέρας,
περιθεὶς τῷ λαιμῷ τοὺς δακτύλους συμπιέζει καὶ ἄγχει.
καὶ βαστάσας νεκρὸν ἐπωμάδιον ἄγει πρὸς Κλεωνὰς
πρῶτον, εἶτα Διὶ θύσας αὐτόθι καταλαμβάνει Μυκή-
νας καὶ διὰ θαύματος Εὐρυσθεῖ γίνεται.

5 II. [Περὶ τῆς Λερναίας ὕδρας.] Ἔδεισε δι' ἀν- 76
δρείας ὑπερβολὴν Ἡρακλῆν Εὐρυσθεύς, καὶ μηκέτι
συγχωρῶν εἰσιέναι Μυκήνας δεικνύειν πρὸ πυλῶν τοὺς

2. τελεῖν *RSTP (ἐτέλει Apollod.): ἐκτελεῖν VM 3. νεμείου *P: νεμειαίου TVM νεμαιείου S νεμαίου R *All.* Νεμεαίου *West.* 6. νέμεαν codd. 7. χερνίτῃ SM 9. Σωτῆρι om. P 10. δ' codd.: δὲ edd. μὴ om. V περιγενωμένω SP 11. νέμεαν codd. 12. πρῶτον *P (Apollod.): τὸ πρῶτον reliqui 13. ἐντεινάμενος RSTP (Apollod.): ἐκτεινάμενος VM 14. ἀμφιτοσπήλαιον P τὴν om. VM ἑτέραν om. P 15. τὸ θηρίον P (θηρίον R man. 1) 16. τοὺς δακτύλους] τὸ ξίφος P πιέζει R 18. τὸ πρῶτον P αὐτόθεν VM μυκήνας om. VM 20. ἀνδρείας STM: ἀνδρίας RPV (codd. Apollod.) 21. εὐρυσθεὺς ἡρακλῆν VM 22. πυλῶν] τῶν πυλῶν T θυρῶν S

77 ἄθλους ἐκέλευσε. δεύτερον δὴ τὴν Λερναίαν ὕδραν
κτείνειν ἀγῶνα προσέταξεν. ἡ δὲ θηρίον ἦν ἀμαιμά-
κετον, σῶμα μὲν ὑπερμέγεθες, κάρηνον δὲ ἔχον ἐν-
νεακέφαλον· τῷ δὲ τῆς Λέρνης ἕλει τραφέν, προϊὸν
78 <εἰς> τὸ πεδίον πᾶν ὅ τι προστύχοι διέφθειρεν. ἐπιβὰς 6
οὖν ἅρματος Ἡρακλῆς, ἡνίοχον ἔχων Ἰόλαον εἰς τὸ
τῆς Λέρνης πεδίον ἀφίκετο, πεπυρωμένοις δὲ βάλλων
ὕδραν τοῖς βέλεσιν εἰς συμπλοκὴν κατηνάγκασεν. ἡ
79 μὲν οὖν θατέρῳ τοῖν ποδοῖν ἐμπλακεῖσα ἐνείχετο, ὁ
δὲ τῷ ῥοπάλῳ κόπτων τὰς κεφαλὰς ἤνυε πλέον οὐδέν·
μιᾶς γὰρ δειροτομουμένης δύο ἐφύοντο. προσεβοήθη
δὲ τερατώδης καρκῖνος, καὶ ἦν ὁ ἆθλος δυσκαταγώνι-
στος. ἀνθ' ὧν Ἰολάῳ προσχρησάμενος Ἡρακλῆς βοηθῷ 7
κτείνει μὲν τὸν καρκῖνον, δαλῷ δὲ τὰς ἀνατολὰς τῶν
80 κεφαλῶν ἀμαυρῶν ἔστησε τῆς ἐκφύσεως. ἀποκόψας δὲ
τὴν ἀθάνατον ἐκ πασῶν κεφαλήν, κατορύξας πέτραν
ἐπέθηκεν. ἀναρρήξας δὲ ταύτης τὸ σῶμα τοὺς ὀιστοὺς
ἔβαψε, καὶ πρὸς Εὐρυσθέα καλλίνικος αναζεύγνυσιν.
οὐ μέντοι <ἐν> τοῖς δώδεκα τὸν ἀγῶνα τοῦτον Εὐρυ-
σθεὺς ἔταξεν· σύμμαχος γὰρ Ἡρακλεῖ τηνικαῦτα Ἰόλαος.
81 III. [*Περὶ τῆς χρυσόκερω ἐλάφου.*] Τρίτον 8
ἐπέταξεν ἆθλον τὴν ἐξ Οἰνόης ἔμπνουν κομίζειν χρυ-

3. δὲ PVM: δ' RT 4. τῷ PT: τὸ R πῇ V πὴ M ἕλει τραφέν om. R 5. <εἰς> τὸ πεδίον * restitui ex Apollod.: τὸ πεδίον TP πεδίον R τῷ πεδίῳ VM edd. προσ-τύχει R 6. ὁ ἡρακλῆς R ἐς V 8. ὕδραν * add. RP, om. VM 9. ἐνείχετο VM: ἐμείχετο P ἐμάχετο R 13. ἰόλεω R 16. κατωρύξας R πέτραν R (Apollod.): πέτρον PVM 17. ἐπέθηκεν PR (Apollod.): ἔθηκεν VM ἀναρρύξας omisso δὲ R ταύτην P ταύτῃ RVM, corr. *All.* 19. ἐν ex Apollod. add. *West.* 20. Ἰόλαος Apollod. *West.*: ἰόλεως codd. 22. ἆθλον Apollod. *All.*: ἄεθλον codd. Οἰνόης * R Apollod.] χώρας add. VM edd. χρυσόκερον R

σόκερων ἔλαφον. οὗ χάριν μήτε βαλεῖν μήτε μὴν
ἀνελεῖν ταύτην βουλόμενος Ἡρακλῆς ὅλον ἐνιαυτὸν
συνεδίωκεν. ἐπεὶ δὲ καμὸν τὸ θηρίον κρησφύγετον
ἔγνω τὸ Ἀρτεμίσιον, καταφεύγει μὲν εἰς τὸ ὄρος, ἐκεῖ-
θεν δὲ περαιούμενον Λάδωνα βάλλει καὶ συλλαμβάνει.
9 τοῖς ὤμοις δὲ θέμενος διὰ τῆς Ἀρκαδίας ἠπείγετο.
συντυχοῦσα δὲ σὺν Ἀπόλλωνι Ἄρτεμις, ὅτι τὴν ἱερὰν 82
αὐτῆς ἔλαφον ἔκτεινε, κατεμέμφετο. πραΰνει δὲ τὴν
ὀργὴν τῇ θεῷ τὴν ἐξ Εὐρυσθέως ἀνάγκην προφασι-
σάμενος. τοῦ λοιποῦ δὲ Μυκήναζε τὸ θηρίον ἔμπνουν
ἐκόμισε, [καὶ δὴ καὶ ἐλαίαν ἐξ Ὑπερβορέων εἰς Ἕλλη-
νας ἤγαγεν.]
10 IV. [Περὶ τοῦ Ἐρυμανθίου κάπρου.] Ἠδίκει 83
τὴν Ψωφῖδα κάπρος ὁ Ἐρυμάνθιος· ἀνθ' ὧν Ἡρακλῆς
τέταρτον ἆθλον ὑφίσταται, καὶ ζῶντα τοσοῦτον χαυ-
λιόδοντα σῦν κομίζειν ἐπιταχθεὶς οὐ κατεφρόνει τοῦ
ἐπιτάγματος. Φολόην οὖν διιὼν Φόλῳ τῷ Κενταύρῳ
ξενίζεται. Φόλος μὲν οὖν ὀπτὰ κρέα παρεῖχε φιλοφρο-
νούμενος, ὁ δὲ τοῖς ὠμοῖς μᾶλλον ἐκέχρητο. οἶνον δὲ 84
ἀπαιτήσαντος Φόλος μὲν τὸν κοινὸν πίθον Κενταύρων
11 ἀνοίγειν δεδιέναι διισχυρίζετο· θαρρεῖν δὲ Ἡρακλῆς
ἔφησε, καὶ πείθει καὶ πέπωκεν. αἰσθόμενοι δὲ διὰ
τῆς ὀσμῆς Κένταυροι παρῆσαν ἐλάτας ἀνατεινάμενοι.

1. βαλλεῖν R 3. δὲ om. R 5. δὲ om. R βάλλει * codd. (τοξεύσας Apollod.): φθάνει *All.* 7. ἀπώλωνι R 8. ἔκτεινε * codd. (κτείναντα Apollod. codd.): εἴληφε *All.* 9. τῇ θεῷ VM (τῆς θεοῦ Apollod.): τῇ θεᾷ R εὐρυσθένους R 10. δὲ om. R θυρίον R 11 s. καὶ δὴ — ἤγαγεν] haec verba ab Apollodoro aliena recte delevit *All.* 14. Ψωφῖδα Apollod. *West.*: φωκίδα codd. 17. διιὼν *R: διοδεύων VM (διερχόμενος Apollod.) 18. ὀπτὰ R Apollod.: ὠπτὰ VM 20. ⟨τῶν⟩ Κενταύρων et 23. ⟨οἱ⟩ Κένταυροι ex Apollod. propos. *West.*
21. ἀνοίγειν om. VM δεδειέναι R

κατὰ κράτος δὲ τρεψάμενος αὐτοὺς Ἡρακλῆς, τοὺς δὲ
87 καὶ διολέσας τοῖς βέλεσιν, ἐπὶ τὴν τοῦ κάπρου θήραν
ἐγένετο. διώξας δὲ τοῦτον ἔκ τινος λόχμης μετὰ κραυ-
γῆς, χιόνι παρειμένον ἐμβροχίσας εἰς Μυκήνας ἔμπνουν
ἐκόμισεν.
88 V. [Περὶ τῆς Αὐγείου κόπρου.] Ἕως Ἡρακλῆς 12
τοῖς φθάσασιν ἦν ἀγῶσιν ἀνενδεής, καινοτέρους Εὐ-
ρυσθεὺς προσεξεύρισκεν. ὁ δ' ἐλειτούργει τοῖς ἐπι-
τάγμασι, καὶ Διὸς γεγονὼς ἐπιστοῦτο τοῖς ἔργοις τὴν
γένεσιν. τὴν Αὐγείου δὴ τῶν θρεμμάτων ὄνθον μετὰ
τοὺς διηνυσμένους ἄθλους ἡμέρᾳ μιᾷ καθαίρειν προσ-
τάττεται. βασιλεὺς Ἤλιδος ὁ Αὐγείας, παῖς Ἡλίου 13
τὸ μυθευόμενον, τὸ δὲ ἱστορούμενον Φόρβαντος. συχνὰ
τούτῳ βοσκήματα, χώρῳ δ' ἐνὶ μακροῖς ἔτεσι σηκαζό-
μενα κόπρον ἀμύθητον ἐπεσώρευσαν. Αὐγείᾳ τοίνυν
προσιὼν Ἡρακλῆς, μὴ δηλώσας τὴν ἐξ Εὐρυσθέως ἐπι-
ταγήν, εἰ παράσχοι τὴν δεκάτην αὐτῷ τῶν βοσκημά-
των, ἡμέρᾳ μιᾷ τῆς κόπρου τὸν φορυτὸν ἐκφορήσειν
89 ὑπέσχετο. κατανεύει μὴ πιστεύων Αὐγείας. Φυλέα δὲ 14
τὸν Αὐγείου μαρτυράμενος Ἡρακλῆς διαιρεῖ τῆς αὐλῆς
τὸν θεμέλιον καὶ παροχετεύσας τὸν Ἀλφειὸν ἅμα τῷ
Πηνειῷ σύνεγγυς ῥέοντας τὴν ὄνθον ἐκάθηρεν, ἔκρουν
δι' ἄλλης ἐξόδου κατεργασάμενος. ὡς δ' ἔμαθε κατ'
ἐπιταγὴν Εὐρυσθέως διηνύσθαι τὸν ἆθλον ὁ Αὐγείας,

2. καὶ διολέσας] διόλεσε R τοῦ om. R 3. διόξας R
11. διηνυμένους R καθαίρειν om. R 13. δ' R: δὲ VM
16. ἐξ add. R 17. αὐτῷ *West.*: τούτῳ codd.
18. φορητὸν R 19. αὐγείας *R: ὁ αὐγείας VM edd.
φυλέα R: φυλλέα M, V ubi alterum λ suprascr. man. 2
21. τὸν VM Apollod.: τὸ R 22. ῥέοντας] ὁρῶντας R
ἐκάθηρεν codd.: ἐκαθῆρεν edd. 23. δ' ἔμαθε *West.*: δὲ
μάθοι codd. 24. ἄεθλον R ὁ Αὐγείας om. R

τὸν μισθόν τε οὐ παρεῖχε καὶ ὑπεσχῆσθαι ἐξηρνεῖτο,
15 ἔτι δὲ καὶ κρίνεσθαι περὶ τούτου ἕτοιμος ἦν. ὡς δὲ 90
καθεζομένων τῶν δικαστῶν ὡς ὑπεσχημένου τοῦ πα-
τρὸς κατεμαρτύρησεν ὁ Φυλεύς, ὀργισθεὶς ὁ Αὐγείας
πρὶν ἐνεχθῆναι τὴν ψῆφον τόν θ' Ἡρακλέα καὶ αὐτὸν
Φυλέα βαδίζειν ἐκέλευσεν ἐκ τῆς Ἤλιδος. Φυλεὺς μὲν 91
οὖν εἰς Δουλίχιον ᾔει, πρὸς Ὤλενον δ' Ἡρακλῆς
προσδεξάμενον ἵκετο. καὶ Μνησιμάχην τὴν Ὠλένου
ῥυσάμενος Εὐρυτίωνος ἧκεν εἰς Εὐρυσθέα. παρ' ὅσον
δὲ μισθὸν ἀπῄτει τῆς ἐκφορήσεως, οὐδὲ τὸν ἀγῶνα
τοῦτον Εὐρυσθεὺς ⟨ἐν⟩ τοῖς δώδεκα προσεδέξατο.
16 VI. [Περὶ τῶν Στυμφαλίδων ὀρνίθων.] Τὰς 92
Στυμφαλίδας σοβεῖν ὄρνιθας Ἡρακλεῖ ἕκτος ἀγὼν
ἔκειτο. λίμνη παρὰ τοῖς Ἀρκάσιν ἡ Στυμφαλίς, ὕλη
δὲ μυρίᾳ συνηρεφὴς κρησφύγετον ὄρνισιν ἦν. οὐδε- 93
μιᾶς οὖν μηχανῆς τῇ θήρᾳ τούτων εὑρημένης παρ' οὐ-
17 δενὸς Ἡρακλῆς διώκειν τὰς ὄρνιθας ἠναγκάζετο. συν-
αίρεται τούτῳ τῆς θήρας Παλλάς, ἡφαιστότευκτα δὲ
παρασχοῦσα χάλκεα κρόταλα λύει τὴν ἀμηχανίαν αὐτῷ.
κροτῶν γὰρ τοὺς κώδωνας Ἡρακλῆς ἐπί τινος ὄρους
τῇ λίμνῃ παρακειμένου φόβον ἐποίει ταῖς ὄρνισι, καὶ
τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀφίπταντο,
καὶ τῇδε βέλεσι τῶν ὀρνίθων περιεγένετο.

